Rom. 1838, 109 sqq. Reisen und Forschungen 1, 238. 247 not. 3. Dittenberger IG. VII 2723. — K. Keil Syll. inscr. Boeot. 69 n. X. R. Meister Bezz. Beitr. 6, 19. Coll.-Becht. 570. Larfeld Syll. inscr. Boeot. 181. Holleaux Bull. corr. hell. 18, 1 sqq.

Βοιωτοὶ Ἀπόλλωνι Πτωΐοι ἀνέθιαν ἄρχοντος Βοιωτοῖς Φιλοκώμω Ἀ[ντ]ιγ[ενε]ιίω Θεισπιε[ῖος], | ἀφεδριατευόντων Ἐμπεδο[κ]λεῖος Ἀθανοκριτίω Ταναγρήω, Πούθωνος Α[ὐ]τομειδε[ιί]ω Ἐρχομενίω, | Ἱπποτίωνος Fαστυμειδοντίω Κορωνεῖος, ἘπιFά[στ]ιος Μαχωνίω Θειβήω, Νικίωνος Γ[ρ]υλ[ί]ωνος Πλαταεῖος, | Ἀριστοκλεῖος Ἀγασιήω Ἀνθαδονίω, Σάωνος Θιο[τ]ιμίω Θεισπιεῖος, μαντευομένω Ὀνυμάστω Νικολαίω Θεισπιεῖος.

---

2 *ἀφεδριατευόντων* Dittenberger ad IG. VII 1672. Solmsen Berl. phil. Wochschr. 1904, 1000 3 *ἘπιFά[στ]ιος* Beermann Curt. Stud. 9, 55 not. 36 *ἘπιFά[σκ]ιος* Bechtel-Fick Gr. Personennamen[2] 110. 126; vix recte *ἘπιFά[λτ]ιος* Ulrichs Keil Dittenberger *ἘπιFά[νακτ]ος* Meister 4 *Ὠνυμάστω* Ulrichs

14. Catalogus hoplitarum.

Lapis exstans in vico Topolias loco veterum Coparum. Probabiliter prior III saec. pars. Litteratura volgaris conservata nota digammi. — Walpole Travels 566. Boeckh CIG. 1574. Dittenberger IG. VII 2781. — K. Keil Syll. inscr. Boeot. 42. R. Meister Bezz. Beitr. 6, 22 sqq. Coll.-Becht. 553. Larfeld Syll. inscr. Boeot. 169. Cauer[2] 307.

[Θε]ός. Μελαντίχω ἄρχοντος | τοῖ ἀπεγράψοντο ἐν ὁπλίτας | πολεμαρχιόντων | Fαναξίωνος Σαώνδαο, || Φαλλίνω Τιμανδρίδα[ο], | λοχαγίοντος Fάδωνος Πολυκριτίω, | γραμματίδδοντος | Καφισοδώρω Σαμιωνίω· | . . . . . εις Νικοδώριος, || Ἀρχίας Νικομάχιος, | Β[ρ]ό[μιος(?) Τιμ]ό[λ]λιος, | Σάμιχος Καλλιγιτόνιος, | Ποίδικος Διωνουσίχιος, | Τριακαδίων Ἐπαμινώνδαο, || Ἀγάθων Διώνιος, | Ἀντιγένεις Ἀντιγώνιος, | Θαλωνίδας Μνασιώνιος, | Δίων Fανακώνιος, | Μνασίων Κα[λ]λίηος, || Μενεκράτεις Μολώνιος, | Ἱσμηνίας Μολώνιος, | Φιλήμων Νιώνιος, | Εὐ-

ωφελῖνος Ἀπολλοδώριος, | Ἀμφίτιμος Εὐίστιος, || Εὐφρονίσκος Ὀνασίμιος, | Εἰρωϊλλει Πουρρίχιος, | Ἀμφίων Στροτώνιος, | Κλίων Πτωιοδώριος, | Μελάμβιος Κλεοπολέμιος, || Ἄρχιππος Μελιτώνιος, | Καφίσανδρος Ξενοκράτιος, | Τριακαδίων Κλιώνιος, | Εὔφαμίδας Εὐανορίδαο, | Ἀργουνίων Ἀντιγενίδαο, || Τίμων Ὀνασίμιος.

15. Titulus Nicaretae.

Lapis a quattuor partibus inscriptus Orchomeni in ecclesia. Intra a. 222—200. Litteratura Ionica conservata nota digammi. — Foucart Bull. corr. hell. 3, 459 sqq. 4, 1 sqq. 535 sqq. Dittenberger IG. VII 3172. — R. Meister Bezz. Beitr. 5, 210 sqq. 6, 54 sqq. Coll.-Becht. 488. Larfeld Syll. inscr. Boeot. 16. Cauer[2] 295. Dareste-Haussoullier-Reinach Inscr. jurid. XIV. — Blass Rhein. Mus. 36, 607 sqq. Latischew Ath. Mitt. 7, 31 sqq. Dareste Bull. corr. hell. 8, 370 sqq. Szanto Wiener Stud. 7, 241 sqq.

I (D) Τοὶ πολέμαρχοι τοὶ ἐπὶ Πολυκράτιος | ἄρχοντος Φιλόμειλος Φίλωνος, | Καφισόδωρος Διωνυσίω, Ἀθανόδω|ρος Ἵππωνος ἀνέγραψαν καθὼς || ἐποείσανθο τὰν ἀπόδοσιν τῶν δα|νείων τῶν Νικαρέτας κὰτ τὸ ψά|φισμα τῶ δάμω.

II (E) (Μει)ν(ό)ς Ἀλαλκομενίω | Ϝικαστῆ κὴ ἕκτη, ἐπεψάφιδδε | Φιλόμειλος Φίλωνος, Καφισόδωρος || Διωνουσίω ἔλεξε· προβεβωλευμένον | εἶμεν αὐτῦ ποτὶ δᾶμον, ἐπιδεὶ ἐπεψα|φίττατο ὁ δᾶμος ἀποδόμεν Νικαρέτη⟨ι⟩ | Θίωνος τὸν ταμίαν τὸν προάρχοντα | τὰν τρίταν πετράμεινον ἀπὸ [τ]ᾶν ὑπερ||αμεριάων τᾶν ἰωσάων κὰτ τᾶς πόλιος, ὃ ἐ|πίθωσε αὐτὰν ἁ πόλις, ἀργουρίω δραχμὰς | μουρίας ὀκτακισχιλίας ὀκτακατίας τριά|κοντα τρῖς, κὴ τὼς πολεμάρχως ἀνελέσ|θη τάν τε σύνγραφον, ἂν ἔδωκαν ούπὲρ || [ο]ὕτων τῶν χρειμάτων κατ' α[ὐ]τὺ αὐτῶ[ν] | κὴ ὁ ταμίας κὴ ὧν ποθείλετο Νικαρέτα δέκ[α], |

Dedi documenta iusto ordine, qui praescriptus est vs. 30 sqq., sed adscripsi ad singulas partes et versus uncis inclusas litteras numerosque, quibus distincta sunt a Foucart.

κὴ τὰς ὑπεραμερίας διαγράψασθη τὰς [κὰτ] | τᾶς πόλιος τὰς ἐπὶ Ξενοκρίτω ἄρχοντος | ἐν Θεισπιῆς, κὴ οὗτα FεFυκονομειόντων || τῶν πολεμάρχων κὴ τῶ ταμίαο ἀποδόν|τος τὰ χρείματα κὰτ τὸ ὁμόλογον τὸ πὰρ | Θιόφεστον Θιοδώρω Θεισπιεῖα τεθέν, | δεδόχθη τῦ δάμυ· τὼς πολεμάρχως, | ἐπί κα τὸ ψάφισμα κούριον γένειτη, ἀγγρά|ψη ἐν στάλαν λιθίναν τό τε ψάφισμα οὗτο (II) κὴ τὸ οὑπὲρ τᾶς ἀποδόσιος (III), κὰ(τ) ταὐτὰ δὲ κὴ | τὰς ὑπεραμερίας τὰ(ς) κὰτ τᾶς πόλιος τὰς Νι|καρέτας (IV) κὴ τὸ ὅ[ν]ιουμα τῶ γραμματεῖος τῶ δ[ι]|αγράψαντος αὐτὰς (V) κὴ τὰν σύγγραφον τὰν || τεθεῖσαν πὰρ Fιφιάδαν (VI) κὴ τὸ ἀντίγραφον <κὴ | τὸ ἀντίγραφον> τῶ ὁμολόγω τῶ τεθέντος πὰρ Θιό|φεστον (VII) κὴ τὰν διαγραφὰν τῶν χρειμάτων ὧν | ἔγραψαν αὐτῆ διὰ τρεπέδδας (VIII), κὴ τὸ ἄλωμα | ἀπολογίτταστη ποτὶ κατόπ[τ]α[ς, π]όρον δ' εἶμεν || ἀπὸ τῶν πολιτικῶν.

III (F) Δαματρίω νιουμεινίη | πετράτη, ἐπεψάφιδδε Κ[α]φισόδωρος Διω|νουσίω, Ἀθανόδωρος Ἵππωνος ἔλεξε· προβε|[β]ωλευμένον εἶμεν αὐτῦ ποτὶ δᾶμον, ἐπιδεὶ | παργενομένας Νικαρέτας Θίωνος Θεισπικᾶς || [κ]ὴ πραττώσας τὸ δάνειον τὰν πόλιν κὰτ τὰς οὑπε[ρ]|αμερία[ς] τὰς ἰώσας αὐτῆ [ἀνα]γκάσ(θεισ)αν τὺ πολέμαρ|χυ κὴ ὁ ταμίας σουγχωρείσαντος τῶ δάμω δόμεν | [κ]ὰτ αὐ[τὺ] αὐ[τ]ῶν σούνγραφον πὸτ τῆ οὑπαρχώσῃ οὑπε[ρ]|αμερίη, ἐ[ν τ]άν κα ἐνενιχθεῖ ἁ ἀνφορὰ ἐν οὗτο, κ[ὴ] || κομίττ[η] τὰ συνχωρειθέντα χρείματα, | δεδόχθη τῦ δάμυ· τὸν ταμίαν τὸν [π]ροάρχοντα | [τὰν] τρίτα[ν] πετράμεινον ἀποδόμεν πεδὰ τῶν | πολεμάρχων Νικαρέτῃ ἀργ[υ]ρίω δραχμὰς μυρίας | [ὀκ]τακισχειλίας ὀκτακατία[ς] τριά-

38 *τρεπέδδας*, cf. vs. 170. 173.

κ[ο]ντα τρῖς Πολυ||κράτιος ἄρχοντος ἐν τῦ Δαματρίυ μεινὶ κὴ τὰς ἐ[μ]|πράξις τὰς ἰώσας Νικα[ρέτη κὰτ] τᾶς πόλιος Ξεν[ο]|κρίτω ἄρχοντος ἐν Θεισπιῆς πάσας διαλιάνασ[θη]| τὼς πολεμάρχως, κὴ τὰν σουγγραφὰν, ἃν ἔχι κὰτ τ[ῶν] | πολεμάρχων κὴ τῶ ταμίαο, ἀνελέσθη, πόρον [δ' εἶ]||μεν ἐν οὗτο ἀπὸ τῶν τᾶς πόλιος ποθοδωμάτων πάντ[ων]. |

IV (G) Ξενοκρίτω, Ἀλαλκομενίω· Νικαρέτα Θέωνος τᾶς π[ό]|λιος Ἐρχομενίων κὴ τῶ ἐγγύω Θίωνος Συννόμω· τὰ π|πάματα μούριη ὀγδοείκοντα πέντε διού[ο] ὀβολίω· | κὴ τῶ τεθμίω Ϝίστωρ Ἀριστόνικος Πραξιτέλιος. — ||Λιουκίσκω, Θιουίω· τὸ σουνάλλαγμα· Νικαρέτα Θίω|νος τᾶς πόλιος Ἐρχομενίων κὴ τῶ ἐγγούω Θίωνος | Σουννόμω· τὰ ππάματα δισχείλιη πεντακάτι[η]· | κὴ τῶ τεθμίω Ϝίστωρ ὁ αὐτός. — Λιουκίσκω, Ὁμολωΐω· | [τ]ὸ σουνάλλαγμα· Νικαρέτα Θίωνος τᾶς πόλι[ος] || Ἐρχομενίων κὴ τῶ ἐγγούω Θίωνος Σουννόμω· τὰ π|πάματα πετρακισχείλιη· κὴ τῶ τεθμίω Ϝίστωρ | ὁ αὐτός. — Χρόνος ὁ αὐτός· Νικαρέτα Θίωνος τᾶς πόλιος | [Ἐ]ρχομενίων κὴ τῶ ἐγγούω Θίωνος Σουννόμω· τὰ ππά|ματα χείλιη· κὴ τῶ τεθμίω Ϝίστωρ ὁ αὐτός. — Λιουκίσκ[ω, || Θε]ιλουθίω· τὸ σουνάλλαγμα.

V (H) Διαγράψη τὰς ούπερ[α|μ]ερίας τὰς Νικαρέτας ἐν Θεισπιῆς τὰς κὰτ τᾶς | [π]όλιος· τῶν τεθμοφουλάκων γραμματεὺς Σα .... |

VI (A) Ἐδάνεισεν Νικαρέτα Θέωνος | Θεσπική, παρόντος αὐτῆι κυ||ρίου τοῦ ἀνδρὸς Δεξίππου Ε[ὐ]|νομίδου, Καφισοδώρωι Δι[ο]|νυσίου, Φιλομήλωι Φίλωνος, | Ἀθανοδώρωι Ἵππωνος, Πο[λυ]|κρίτωι Θάροπος καὶ ἐγγύοις || εἰς ἔκτεισιν τοῦ δανείου | Μνάσων Μέκγαο, Τελεσίας | Μέκγαο, Λασίππωι Ξενοτί|μου, Εὐάρει Εὐχώρου, Περιλάωι Ἀναξίωνος, Διονυσο||δώρωι Καφισοδώρου, Κωμί-

ναι Τελεσίππου, Ὀνασίμωι | Θεογείτονος, Καφισοδώρωι | Δαματρίχου, Νικοκλεῖ Ἀθα¦νοδώρου Ὀρχομενίοις ἀργυ-|| ρίου δραχμὰς μυρίας ὀκτα¦κισχειλίας ὀκτακοσίας τρι|άκοντα τρεῖς ἄτοκον ἐχ Θεσ¦πιῶν εἰς τὰ Παμβοιώτια τὰ ἐ|π' Ὀνασίμου ἄρχοντος Βοιωτοῖ[ς]. || Ἀποδότωσαν δὲ τὸ δάνειον | οἱ δανεισάμενοι ἢ οἱ ἔγγυ|οι Νικαρέται ἐν τοῖς Πανβοι|ωτίοις πρὸ τῆς θυσίας ἐν ἡμέ|ραις τρισίν. Ἐὰν δὲ μὴ ἀποδῶσ[ι,] || πραχθήσονται κατὰ τὸν νό|μον· [ἡ] δὲ πρᾶξις ἔστω ἔκ τε | αὐτῶν τῶν δανεισαμένων | καὶ ἐκ τῶν ἐγγύων, καὶ ἐξ ἑνὸ[ς] | καὶ ἐκ πλειόνων καὶ ἐκ πάν||των, καὶ ἐκ τῶν ὑπαρχόντων | αὐτοῖς, πραττούσηι ὃν ἂν τρό|πον βούληται. Ἡ δὲ συγγραφὴ | κυρία ἔστω, κἂν ἄλλος ἐπι|φέρηι ὑπὲρ Νικαρέτας. Μάρ-|| τυρες Ἀριστογείτων Ἁρμο|ξένου, Ἰθιούδικος Ἀθανίαο, | Ϝιφιάδας Τιμοκλεῖος, Φαρ|σάλιος Εὐδίκου, Καλλέας Λυ-| σιφάντου, Θεόφεστος Θεοδώ¦ρου, Εὐξενίδας Φιλώνδου | Θεσπιεῖς. Ἁ σούγγραφος | πὰρ Ϝιφιάδαν Τιμοκλεῖος. |

VII (B) Ὀνασίμω ἄρχοντος Βοιωτοῖ[ς,] | μεινὸς Πανάμω, ὁμολογὰ || Νικαρέτη Θίωνος Θεισπική, | παριόντος Νικαρέτη Δεξίπ|πω Εὐνομίδαο τῶ ἀνδρὸς Θε[ι]|σπιεῖος, κὴ τῆ πόλι Ἐρχομεν[ί]||ων· παρεῖαν ούπὲρ τᾶς πόλ[ι]|ος πολέμαρχοι Καφισόδω|ρος Διωνουσίω, Φιλόμειλος | Φίλωνος, Ἀθανόδωρος Ἵππω|νος· ἀποδόμεν τὰν πόλιν Ἐρ|χομενίων Νικαρέτη Θίωνος, || ὃ ἐπίθωσαν ούπὲρ τᾶν ούπε|ραμεριάων τᾶν ἐπὶ Ξενοκρί|τω ἄρχοντος ἐν Θεισπιῆς, ἀρ|γουρίω δραχμὰς μουρίας ὀκτ[α]¦κισχειλίας ὀκτακατίας τρ[ιά]¦κοντα τρῖς, ἔσχατον Ὀνασ[ί]|μω ἄρχοντος ἐν τῦ Ἀλαλ[κο]|μενίοι μεινί· σούγγραφον δὲ | γράψασθη τῶ ἀργουρίω τὼς | ⟨τὼς⟩ πολεμάρχως Ἐρχομενίων || κὴ ἐγγούως, ὥς κα δοκιμάδδ[ει] | Νικαρέτα, κὴ θέσθη μεσέγγ[ου]|ον πὰρ Ϝιφιάδαν Τιμοκλεῖος | Θει-

σπιεῖα. Ἐπὶ δέ κα κομίττε[ι]|τη Νικαρέτα τὸ ἀργούριον || πὰρ τᾶς πόλιος, ἐσλιανάτω Νικαρέτα τὰς οὑπεραμερίας, ἃς ἔχι κὰτ τᾶς πόλιος, τὰς ἐπὶ Ξενοκρίτω ἄρχοντος ἐν Θεισπιῆς πάσας, κὴ τὰν σούγγραφον ἀποδότω Ϝιφιάδας τοῖς πολεμάρχυς κὴ τοῖ ταμίη κὴ το[ῖς] ἐγγούοις. Ἠ δέ κα μεὶ ἀποδώει ἁ πόλις Νικαρέτη τὸ ἀρ||γούριον ἐν τῦ γεγραμμένυ χρόνυ, τὰς μουρίας κὴ ὀκτ[α]|κισχειλίας ὀκτακατίας τριάκοντα τρῖς, ἀποδότω τὰν σούγγραφον κὴ τὰς οὑπεραμερίας τὰς κὰτ τᾶς πόλιος, ἅπαν τὸ ἀργούριον τὸ ἐν τῦ ὁμολό[γ]υ γεγραμμένον· (ἠ δέ κα) ἐν τῦ χρόνυ τῦ γεγραμμένυ μεὶ ἐθέλει κ[ομ]ίδδ[ε]||σθη Νικαρέ[τ]α τὸ ἀργούριον, ἀποδότω Ϝιφιάδας τὰν | σούγγραφον τοῖς πολεμάρχοις κὴ τοῖ ταμίη κὴ τοῖς | ἐγγούοις, κὴ ποταποπισάτω Νικαρέτα τῆ πόλι Ἐρχο|μενίων κὴ τοῖς πολεμάρχοις κὴ τοῖ ταμίη κὴ τοῖς ἐγ|γούοις ἀργουρίω δραχμὰς πεντακισμουρίας, κὴ τὴ || οὑπεραμερίη ἄκουρύ νυ ἔνθω. Ϝίστορες Ἀριστογί|των Ἁρμοξένω, Ἰθούδικος Ἀθανίαο, Ϝιφιάδας Τιμο[κλεῖ|ο]ς, Φαρσάλιος Εὐδίκω, Καλλέας Λιουσιφάντω, Θιόφεισ|τος Θιοδώρω, Εὐξενίδας Φιλώνδαο Θεισπιεῖε⟨ι⟩ς. Τὸ ὁμό|λογον πὰρ Θιόφειστον Θιοδώρω Θεισπιεῖα.

Διαγραφὰ || Νικαρέτη διὰ τραπέδδας τᾶς Πιστοκλεῖος ἐν Θεισπι|ῆς· Ἐπιτέλιος ἄρχοντος ἐν Θεισπιῆς, μεινὸς Ἀλαλκομε|νίω δευτέρω ἁμέρη ἐνακηδεκάτη, ἐπὶ τᾶς Πιστοκλεῖος | τραπέδδας Νικαρέτη παρεγράφει πὰρ Πολιουκρίτω Θάρο|πος Ἐρχομενίω ταμίαο οὑπὲρ τᾶς πόλιος τὸ σουνχωρει||θὲν τᾶν οὑπεραμεριάων τᾶν ἐπὶ Ξενοκρίτω ἄρχοντος, | παριόντος πολεμάρχω Ἀθανοδώρω Ἵππωνος Ἐρχομενί[ω], | ἀργουρίω δραχμὴ μούριη ὀκτακισχείλιη ὀκτακάτιη τριά|κοντα τρῖς.

III. DIALECTI DORICAE MERIDIANAE.

A. Peloponnesus cum coloniis.

Dialectus Laconica cum Heracleensi.

16. Inscriptio columnae aeneae dedicatae una cum aureo tripode a Graecis Delphos post pugnam Plataicam.

Columna aenea inventa a. 1856 Constantinopoli in hippodromo (Atmeidan).

Paulo post a. 479. Litteratura Laconica. — O. Frick apud E. Curtium Berl. Monatsber. 1856, 162 sqq. Idem Fleckeis. Jhb. Suppl. 3, 485 sqq. Roehl IGA. 70. Imag.[2] p. 28. Fabricius Jhb. arch. Inst. 1, 176 sqq. — Cauer[2] 12. Hicks[2] 19. Dittenberger Syll.[2] 7. A. v. Domaszewski Neue Heidelberger Jhb. 1, 181 sqq. R. Meister Coll.-Becht. 4406.

[Τ]ο[ίδε τὸν] | πόλεμον [ἐ]|πολ[ε]μέον· | Λακ[εδ]α[ι]μον[ίοι], || Ἀθ[α]ν[α]ί[ο]ι, | Κορίνθιοι, | Τεγεάτ[αι], | Σικυο̄νίοι, | Αἰγινάται, || Μεγαρε̂ς, | Ἐπιδαυρίοι, | Ἐρχομενίοι, | Φλειασίοι, | Τροζάνιοι, || Ερμιονε̂ς, | Τιρυνθίοι, | Πλαταιε̂ς, | Θεσπιε̂ς, | Μυκανε̂ς, || Κειοι, | Μαλίοι, | Τε̄νίοι, | Ναξίοι, | Ἐρετριε̂ς, || Χαλκιδε̂ς, | Στυρε̂ς, | Ϝαλείοι, | Ποτειδαιάται, | Λευκαδίοι, || Ϝανακτοριε̂ς, | Κυθνίοι, | Σιφνίοι, | Ἀμπρακιο̄ται, | Λεπρεάται.

20 *Κε̄ῖοι* an *Κέιοι*?

17. Titulus Damononis.

Marmor olim Misithrae infixum muro monasterii quadraginta sanctorum, nunc Spartae in museo.

Probabiliter circa a. 400. Litteratura Laconica. — Leake Travels in the Morea 2, 521 tab. n. 71. Dressel-Milchhoefer Athen. Mitt. 2, 318 sq. Roehl IGA. 79. Imag.[2] p. 28. — K. Keil

Anal. epigr. 86 sqq. Fick Bezz. Beitr. 3, 121 sqq. Meister ib. 284 sq. Roehl ib. 309. Cauer² 17. Müllensiefen De tit. Lacon. dialecto (Diss. phil. Argent. VI) n. 27. R. Meister Coll.-Becht. 4416.

Δαμόνο̄ν | ἀνέθε̄κε Ἀθαναία[ι] | Πολιάχο̄ι νικάhας | ταυτᾶ hᾶτ' οὐδὲς ‖ πέποκα το̄ν νῦν.

Τάδε ἐνίκαhε Δαμ[όνο̄ν] | το̄ι αὐτο̄ τεθρίππο̄[ι] | αὐτὸς ἀνιοχίο̄ν· | ἐν ΓαιαϜόχο̄ τετράκι[ν] ‖ καὶ Ἀθάναια τετ[ράκιν] | κἐλευhύνια τετ[ράκιν.] | Καὶ Ποhοίδαια Δαμόνο̄[ν] | ἐνίκε̄ Hέλει, καὶ ho κέλ[ε̄ξ | hαμ]ᾶ, αὐτὸς ἀνιοχίο̄ν ‖ ἐνhε̄βόhαις hίπποις | hεπτάκιν ἐκ τᾶν αὐτο̄ | hίππο̄ν κἐκ το̄ αὐ[τ]ο̄ [hίππο̄.] | Καὶ Ποhοίδαια Δαμόνο̄ν | [ἐ]νίκε̄ Θευρίαι ὀκτά[κ]ι[ν] ‖ αὐτὸς ἀνιοχίο̄ν ἐν|hε̄βόhαις hίπποις | ἐκ τᾶν αὐτο̄ hίππο̄ν | κἐκ το̄ αὐτο̄ hίππο̄. | Κἐν Ἀριοντίας ἐνίκε̄ ‖ Δαμόνο̄ν ὀκτάκιν | αὐτὸς ἀνιοχίο̄ν | ἐνhε̄βόhαις hίπποις | ἐκ τᾶν αὐτο̄ hίππο̄ν | κἐκ το̄ αὐτο̄ hίππο̄, καὶ ‖ ho κέλε̄ξ ἐνίκε̄ h[αμᾶ]. | Καὶ Ἐλευhύνια Δαμ[όνο̄ν] | ἐνίκε̄ αὐτὸς ἀνιοχίο̄ν | ἐνhε̄βόhαις hίπποις | τετράκιν. |||

Τάδε ἐνίκαhε Ενυμα . . . | . πράτ[α γυν]αικο̄ν δ . . . . . | . . . έhια καὶ κέλε̄ξ μι . . . | . . . . ας hα . . εν . . ν . . . | . [ἐνh]ε̄β[ο̄]ν[τι hίππο̄ι ‖ . . . . .

18. Tabulae Heracleenses.

Tabulae aeneae duae repertae partim anno 1732, partim paucos annos post in alveo torrentis quem Salandra (Salandrella) vel Cavone vocant, nunc in museo Neapolitano asservatae.

Saec. IV exeuntis. Litteratura Ionica, quae tamen servavit digammi et spiritus asperi notas. — Mazocchi Commentariorum in Regii Herculanensis musei aeneas tabulas Heracleenses pars I et II Neapoli 1754/55. Franz CIG. 5774/75. Kaibel IG. XIV 645. — Aufrecht-Kirchhoff Die umbr. Sprachdenkmäler II 86 sqq. R. Meister Curt. Stud. 4, 355 sqq. Coll.-Becht. 4629. Cauer² 40/41. Dareste - Haussoullier - Reinach Inscr. jurid. XII.

I.

Ἔφορος Ἀρίσταρχος Ηηρακλείδα· μὴς ¦ Ἀπελλαῖος· ha πόλις καὶ τοὶ ὁρισταὶ | Fε τρίπους Φιλώνυμος Ζωπυρίσκω, | πε καρυκεῖον Ἀπολλώνιος Ηηρακλήτω, || αι πέλτα Δάζιμος Πύρρω, κν θρῖναξ | Φιλώτας Ηιστιείω, με ἐπιστύλιον ¦ Ηηρακλείδας Ζωπύρω Διονύσωι. |

Ἀνεγράψαν τοὶ ὁρισταὶ τοὶ haιρεθέντες ἐπὶ τὼς χώρως τὼς hιαρὼς τὼς τῶ Διονύσω | Φιλώνυμος Ζωπυρίσκω, Ἀπολλώνιος Ηηρακλήτω, Δάζιμος Πύρρω, Φιλώτας Ηιστιείω, || Ηηρακλείδας Ζωπύρω, καθὰ .ιξαν καὶ ἐτερμάξαν καὶ συνεμετρήσαν καὶ ἐμερί|ξαν τῶν Ηηρακλείων διακνόντων ἐν κατακλήτωι ἁλίαι. Συνεμετρήσαμες δὲ ἀρξαμέ¦νοι ἀπὸ τῶ ἀντόμω τῶ hυπὲρ Πανδοσίας ἄγοντος τῶ διατάμνοντος τώς τε hιαρὼς χώ|ρως καὶ τὰν Fιδίαν γᾶν ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τώς τε τῶ Διονύσω χώρως καὶ | τὸν Κωνέας ho Δίωνος ἐπαμώχη. Κατετάμομες δὲ μερίδας τέτορας· ¦| τὰν μὲν πράταν μερίδα ἀπὸ τῶ ἀντόμω τῶ πὰρ τὰ Ηηρώιδεια ἄγοντος ¦ εὗρος ποτὶ τὰν τριακοντάπεδον τὰν διὰ τῶν hιαρῶν χώρων ἄγωσαν, | μᾶκος δὲ ἄνωθα ἀπὸ τᾶν ἀποροᾶν ἄχρι ἐς ποταμὸν τὸν Ἄκιριν, καὶ | ἐγένοντο μετριωμέναι ἐν ταύται τᾶι μερείαι ἐρρηγείας μὲν δι|ακατίαι μία σχοίνοι, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ Fεξακατίαι || τετρώκοντα Fὲξ σχοίνοι hημίσχοινον· τὰν δὲ δευτέραν μερίδα εὗρος ἀπὸ | τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν πρᾶτον, μᾶκος δὲ ἀπὸ τᾶν | ἀποροᾶν ἄχρι ἐς ποταμόν, καὶ ἐγένοντο μετριωμέναι ἐν ταύται τᾶι με|ρείαι ἐρρηγείας μὲν διακατίαι hεβδεμήκοντα τρὶς

---

10 [ὠρ]ίξαν ceteri, [ε]ἴξαν Meister Brugmann Idg. Forsch. 11, 99 sq. 11 διακνόντων cf. I 99. II 9.

σχοίνοι, σκίρω δὲ | καὶ ἀρρήκτω καὶ δρυμῶ πεντακατίαι σχοίνοι· || τὰν δὲ τρίταν μερίδα εὖρος ἀπὸ τῶ ἀντόμω τῶ πράτω τῶ πὰρ τὰν τρι|ακοντάπεδον ἄγοντος ἐπὶ τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τᾶς τρια|κονταπέδω, μᾶκος ἀπὸ τᾶν ἀποροᾶν ἄχρι ἐς ποταμόν, καὶ ἐγέ|νοντο μετριωμέναι ἐν ταύται τᾶι μερείαι ἐρρηγείας μὲν τριακατίαι | δέκα δύο σχοίνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ πεντα||κατίαι τριάκοντα hεπτὰ hημίσχοινον· τὰν δὲ τετάρταν μερίδα εὖρος ἀπὸ | τῶ ἀντόμω τῶ δευτέρω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν | ὁρίζοντα τάν τε hιαρὰν καὶ τὰν Fιδίαν γᾶν, μᾶκος δὲ ἀπὸ τᾶν ἀποροᾶν | ἄχρι ἐς ποταμόν, καὶ ἐγένοντο μετριωμέναι ἐν ταύται τᾶι μερείαι ἐρρη|γείας μὲν τριακατίαι hοκτὼ σχοίνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω || καὶ δρυμῶ πεντακατίαι τετρώκοντα μία hημίσχοινον. | Κεφαλὰ πάσας ἐρρηγείας χιλίαι hενενήκοντα πέντε σχοίνοι, σκί|ρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ δισχιλίαι διακατίαι Fίκατι πέντε· | τὰν δὲ νᾶσον τὰν ποτιγεγενημέναν ἐς τὰν ἄρρηκτον γᾶν συνεμε|τρήσαμες. Ἀπὸ ταύτας τᾶς γᾶς ἀπολώλη ἐρρηγείας μὲν τριακατίαι || τρὶς σχοίνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ τετρα|κοσίαι τριάκοντα πέντε σχοίνοι, ἐμ μὲν τᾶι πράται μερείαι τᾶι | πὰρ τὰ Ηηρώιδεια ἐρρηγείας μὲν hεβδεμήκοντα Fὲξ σχοίνοι, σκί|ρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ hεκατὸν hογδοήκοντα πέντε σχοί|νοι, ἐν δὲ τᾶι τετάρται μερείαι τᾶι πὰρ τὰ Φιντία ἐρρηγείας μὲν || διακατίαι Fίκατι hεπτὰ σχοίνοι hημίσχοινον, σκίρω δὲ καὶ ἀρρή|κτω καὶ δρυμῶ διακατίαι πεντήκοντα σχοίνοι. Κεφαλὰ πά|σας γᾶς hᾶς κατεσώισαμες τῶι Διονύσωι hεπτακατίαι τριά|κοντα hοκτὼ σχοίνοι hημίσχοινον· ταύταν τὰν γᾶν κατεσώισα|μες ἐγδικαξαμένοι δίκας τρια-

κοσταίας τοῖς τὰν hιαρὰν γᾶν Fι|δίαν ποϊόντασσιν. Ηαύτα ἐμισθώθη hα γᾶ κατὰ βίω, [hόσσα]ν h[α]||μὲς κατεσώισαμες, τριακατίων μεδίμνων τὸ Fέτος hέκαστον, | hα δὲ πάσα γᾶ hα τῶ Διονύσω τετρακατίων δέκα μεδίμνων κάδ|διχος τὸ Fέτος hέκαστον.

Ἐστάσαμες δὲ καὶ ὄρως ἐπὶ μὲν τᾶς | πλευριάδος ἄνω hένα μὲν ἐπὶ τῶ ἀντόμω τῶ πὰρ Πανδοσίαν || τῶ πὰρ τὰ Ηηρώιδεια τῶ ὁρίζοντος τάν τε hιαρὰν γᾶν καὶ τὰν Fιδίαν | ἀνχωρίξαντες ἀπὸ τᾶν ἀποροᾶν ἐς τὰν Fιδίαν γᾶν, hως μὴ καταλυ|μακωθὴς ἀδηλωθείη καθὼς τοὶ ἔμπροσθα ὄροι, ἄλλον δὲ ἐπὶ τῶ ἀν|τόμω τῶ πὰρ τὰ Φιντία ἄγοντος ἐστάσαμες πὰρ τὰν βυβλίαν καὶ | τὰν διώρυγα ἀνχωρίξαντες hωσαύτως ἐς τὰν Fιδίαν γᾶν ⟨ταν⟩. Ἄλ||λως δὲ ἀντόρως τούτοις ἐστάσαμες ἐπὶ τᾶς ἀμαξιτῶ τᾶς διὰ τῶ χα|ράδεος ἀγώσας τᾶς πὰρ τὸν δρυμόν, τὰς μὲν στάλας ἐς τὰν hιαρὰν | γᾶν, τὼς δὲ ἀντόρως ἐς τὰν Fιδίαν γᾶν, καταλιπόντες Fικατίπεδον | ἄντομον. Ἐστάσαμες δὲ καὶ μεσσόρως δύο μὲν ἐπὶ τᾶς hοδῶ τᾶς | ἀγώσας ἔκ τε πόλιος καὶ ἐκ Πανδοσίας διὰ τῶν hιαρῶν χώρων, δύο || δὲ ἐν ταῖς hακροσκιρίαις· τούτως πάντας ἀν εὐθυωρείαν hομολό|γως ἀλλάλοις, τὼς μὲν ἐς τὸ hιαρὸν πλάγος τῶ ἀντόμω ἐπιγε|γραμμένως hιαρὼς Διονύσω χώρων, τὼς δὲ ἐν τᾶι Fιδίαι γᾶι ἐπι|γεγραμμένως ἀντόρως. Ηωσαύτως δὲ καὶ ἐπὶ τῶ ἀντόμω τῶ | πὰρ τὰ Φιντία ἄγοντος ἐστάσαμες μεσσόρως, δύο μὲν ἐπὶ || τᾶς hοδῶ τᾶς ἐκ πόλιος καὶ ἐκ Πανδοσίας ἀγώσας διὰ τῶν | hιαρῶν χώρων, δύο δὲ ἐπὶ τᾶν hακροσκιριᾶν πὰρ τὰς τυρείας· | τούτως πάντας hομολόγως ἀν εὐθυωρείαν τοῖς ἐπὶ τᾶς hοδῶ | τᾶς διὰ τῶ χαράδεος ἀγώσας πὰρ τὸν δρυμόν, τὼς μὲν ἐς τὸ hιαρὸν | πλάγος ἐπιγεγραμμένως hιαρὼς

Διονύσω χώρων, τὼς δὲ ἐς τὰν Fιδί||αν γᾶν ἐπιγεγραμμένως ἀντόρως, ἀπέχοντας ἀπ' ἀλλάλων hως ἦ|μεν Fικατίπεδον ἄντομον. Ἐπὶ δὲ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν hι|αρῶν χώρων ἀγώσας ἐπὶ μὲν τᾶς πλευριάδος ἄνω δύο ἀπέχοντας ἀπ' ἀλ|λάλων τριάκοντα πόδας, ἄλλως δὲ ἀντόρως τούτοις ἐπάξαμες πὰρ | τὰν hοδὸν τὰν πὰρ τὸν δρυμὸν ἄγωσαν δύο ἀπέχοντας ἀπ' ἀλλάλων || τριάκοντα πόδας· ἐν δὲ μέσσωι τῶι χώρωι ἐπὶ τᾶς τριακονταπέδω τέ|τορας ἀπέχοντας ἀπ' ἀλλάλων hᾶι μὲν τριάκοντα πόδας, hᾶι δὲ Fίκα|τι· ἐπὶ δὲ τῶ ἀντόμω τῶ πὰρ τὰν τριακοντάπεδον δύο ἀπέχοντας ἀπ' ἀλ|λάλων Fίκατι πόδας καὶ ἄλλως ἐπὶ τῶ δευτέρω ἀντόμω ἀπέχοντας | ἀπ' ἀλλάλων Fίκατι πόδας· τούτως πάντας ἀνεπιγρόφως ὁρίζοντας || τὰς μερείας τὰς ποτ' ἀλλάλως τοῖς μεμισθωμένοις τὼς hιαρὼς χώ|ρως. Τὼς δὲ πάντας χώρως τὼς τῶ Διονύσω τερμάζοντι τοί τε ἀντόμοι | hό τε πὰρ τὰ Ηηρώιδεια ἄγων καὶ hο πὰρ τὰ Φιντία ἀπὸ τᾶν ἀποροᾶν ἄνω|θα ἄχρι ἐς ποταμὸν τὸν Ἄκιριν. Ἀριθμὸς ὅρων τῶν ἐστάσαμες τῶν μὲν | ἐπὶ τῶ ἀντόμω τῶ πὰρ τὰ Ηηρώιδεια hεπτὰ σὺν τῶι ἐπὶ τᾶς πλευριάδος, || ἐπὶ δὲ τᾶς τριακονταπέδω hοκτὼ σὺν τῶι τετρώ⟨ι⟩ρωι, ἐπὶ δὲ τῶ ἀντόμω | τῷ τε πὰρ τὰν τριακοντάπεδον καὶ τῶ ἐχομένω δύο ἐφ' ἑκατέρω, ἐπὶ δὲ τῶ | πὰρ τὰ Φιντία hεπτὰ σὺν τῶι πὰρ τὰν βυβλίναν μασχάλαν καὶ πὰρ τὰν δι|ώρυγα. |

Ϛυνθήκα Διονύσω χώρων. ||

Ἐπὶ ἐφόρω Ἀριστίωνος, μηνὸς Ἀπελλαίω, hα πόλις καὶ τοὶ πολιανόμοι ασ βότρυς Τίμαρ|χος Νίκωνος, Fε ἄνθεμον Ἀπολλώνιος Ἀπολλωνίω καὶ τοὶ ὁρισταὶ Fε τρίπους Φιλώνυ|μος Ζωπυρίσκω, πε καρυκεῖον Ἀπολλώνιος Ηηρακλήτω, αι πέλτα Δάζιμος Πύρρω, | κν

θρῖναξ Φιλώτας Ηιστιείω, μ̅ε̅ ἐπιστύλιον Ηηρακλείδας Ζωπύρω μισθῶντι τὼς hι|αρὼς χώρως τὼς τῶ Διονύσω ἔχοντας hως ἔχοντι κατὰ βίω, καθὰ τοὶ Ηηρακλείοι διέ||γνον. Τοὶ δὲ μισθωσαμένοι καρπεύσονται τὸν ἀεὶ χρόνον, hᾶς κα πρωγγύως ποτάγων|τι καὶ τὸ μίσθωμα ἀποδιδῶντι πὰρ Fέτος ἀεὶ Πανάμω μηνὸς προτερείαι· καῖ κ' ἔμπροσθα | ἀποδίνωντι, ἀπάξοντι ἐς τὸν δαμόσιον ῥογὸν καὶ παρμετρήσοντι τοῖς σιταγέρταις τοῖς | ἐπὶ τῶν Fετέων τῶι δαμοσίωι χοΐ μεστὼς τὼς χοῦς κριθᾶς κοθαρᾶς δοκίμας, hοίας κα hα γᾶ | φέρει· ποτάξοντι δὲ πρωγγύως τοῖς πολιανόμοις τοῖς ἀεὶ ἐπὶ τῶν Fετέων ἔντασσιν πὰρ || πενταhετηρίδα, hώς κα ἐθέλοντες τοὶ πολιανόμοι δέκωνται. Καὶ αἴ τινί κα ἄλλωι | παρδῶντι τὰν γᾶν, hάν κα αὐτοὶ μεμισθώσωνται, ἢ ἀρτύσωντι ἢ ἀποδώνται τὰν ἐ|πικαρπίαν, ἀν αὐτὰ τὰ παρhέξονται πρωγγύως hοι παρλαβόντες ἢ hοῖς κ' ἀρτύσει ἢ hοι πρι|αμένοι τὰν ἐπικαρπίαν, ἀν hὰ καὶ hο ἐξ ἀρχᾶς μεμισθωμένος. Ηόστις δέ κα μὴ ποτάγει πρωγγύ|ως ἢ μὴ τὸ μίσθωμα ἀποδιδῶι κὰτ τὰ γεγραμμένα, τό τε μίσθωμα διπλεῖ ἀποτεισει τὸ ἐπὶ τῶ Fέ||τεος καὶ τὸ ἀμπώλημα τοῖς τε πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἀεὶ ἐπὶ τῶ Fέτεος, hόσσωι κα | μείονος ἀμμισθωθῆ πὰρ πέντε Fέτη τὰ πρᾶτα, hότι κα τελέθει ψαφισθὲν hάμα πὰν τῶι πράτωι | μισθώματι, καὶ τὰ ἐν τᾶι γᾶι πεφυτευμένα καὶ οἰκοδομημένα πάντα τᾶς πόλιος ἔσσονται.

Ἐργάξον|ται δὲ κὰτ τάδε· hο μὲν τὸν πρᾶτον χῶρον μισθωσάμενος τὸν πὰρ τὸν ἄντομον τὸν hυπὲρ Πανδοσί|ας ἄγοντα τὸν πὰρ τὰ Ηηρώιδα ἄχρι τᾶς τριακονταπέδω ἀμπέλων μὲν φυτευσει μὴ μεῖον ἢ δέκα ||

101 *κ⟨αἰ⟩ αἴ κ'* Meister Kaibel 109 *ἀποτεισεῖ* an *ἀποτείσει*? et sic ubique in 3. sg. fut. act. accentus dubius cf. KZ. 32, 545 sqq.

σχοίνως, ἐλαιᾶν δὲ φυτὰ ἐμβαλεῖ ἐς τὰν σχοῖνον hεκάσταν μὴ μεῖον ἢ τέτορα ἐς τὰν | δυνατὰν γᾶν ἐλαίας ἔχεν· αἰ δέ κα μὴ φᾶντι τοὶ μεμισθωμένοι δυνατὰν ἦμεν ἐλαίας ἔ|χεν, τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν Ϝετέων ἔντες καὶ αἴ τινάς κα ἄλλως τοὶ πολιανόμοι ποθέ|λωνται ἀπὸ τῶ δάμω, ὀμόσαντες δοκιμάξοντι καὶ ἀναγγελίοντι ἐν ἁλίαι θασαμένοι τὰν | γᾶν πὸτ τὰν τῶν ἐπιχωρίων. Ἐπιμελήσονται δὲ καὶ τῶν hυπαρχόντων δενδρέων· αἰ δέ τινά κα || γήραι ἢ ἀνέμωι ἐκπέτωντι, αὐτοὶ hέξοντι. Ταῦτα δὲ πάντα πεφυτευμένα παρhέξοντι καὶ ἐνδε|διωκότα hόσσα ἐν τᾶι συνθήκαι γεγράψαται ἐν τῶι πέμπτωι καὶ δεκάτωι Ϝέτει ἀπὸ τῶ ποτεχεῖ Ϝέ|τεος ἢ Ἀριστίων ἐφορεύει· αἰ δέ κα μὴ πεφυτεύκωντι κὰτ τὰ γεγραμμένα, κατεδικάσθεν πὰρ μὲν τὰν | ἐλαίαν δέκα νόμως ἀργυρίω πὰρ τὸ φυτὸν hέκαστον, πὰρ δὲ τὰς ἀμπέλως δύο μνᾶς ἀργυρίω πὰρ τὰν | σχοῖνον hεκάσταν. Τὼς δὲ πολιανόμως τὼς ἐπὶ τῶ Ϝέτεος ποθελομένως μετ᾽ αὐτοσαυτῶν ἀπὸ τῶ || δάμω μὴ μεῖον ἢ δέκα ἄνδρας ἀμφίστασθαι, ἤ κα πεφυτεύκωντι πάντα κὰτ τὰν συνθήκαν, | καὶ τὼς πεφυτευκότας ἀγγράψαι ἐς δόγμα, ἀνγράφεν δὲ hόσσα κα πεφυτεύκωντι· ἂν αὐτὰ δὲ τὰ | καὶ εἴ τινές κα μὴ πεφυτεύκωντι κὰτ τὰν συνθήκαν, ἀνγραψάντω καὶ ἐπελάσθω τὰ ἐπιζάμι|α τὰ γεγραμμένα πὸτ τῶι ἄλλωι μισθώματι. Αἰ δέ τίς κα ἐπιβῆι ἢ νέμει ἢ φέρει τι τῶν ἐν τᾶι hιαρᾶι | γᾶι ἢ τῶν δενδρέων τι κόπτηι ἢ θραύηι ἢ πριῶι ἢ ἄλλο τι σίνηται, hο μεμισθωμένος ἐγδικαξή||ται hως πολίστων καὶ hότι κα λάβει αὐτὸς hεξει.

Τὰς δὲ τράφως τὰς διὰ τῶν χώρων ῥεώσας καὶ | τὼς ῥόως οὐ κατασκάψοντι οὐδὲ διασκάψοντι τῶι hύδατι

115 *τέτορα* Franz *τέτορας* Kaibel 120 *ἐνδεδιωκότα* Roscher Rh. Mus. 44, 312 sqq. 130 *πολίστων* Homolle Bull. corr. hell. 15, 627 sqq.

οὐδὲ ἐφέρξοντι τὸ hύδωρ οὐδ᾽ ἀφέρξον|τι· ἀνκοθαρίοντι δὲ hοσσάκις κα δέωνται τὰ πὰρ τὰ αὐτῶν χωρία ῥέοντα· οὐδὲ τὰς hοδὼς τὰς ἀπο|δεδειγμένας ἀράσοντι οὐδὲ συνhέρξοντι οὐδὲ κωλύσοντι πορεύεσθαι· hότι δέ κα τούτων τι ποΐ|ωντι πὰρ τὰν συνθήκαν, τοὶ πολιανόμοι τοὶ ἀὲς ἐπὶ τῶ Fέτεος ἐπικαταβαλίοντι καὶ Ϛαμιώσοντι, || ἄχρι hῶ κα ἀφομοιώσωντι κὰτ τὰν συνθήκαν. Οὐ κοψει δὲ τῶν δενδρέων οὐδὲ θραυσει οὐδὲ πριωσει | οὐδὲ hὴς οὐδὲ hὲν οὐδὲ ἄλλος τήνωι. Οὐδὲ γαιώνας θησει πὰρ τὼς hυπάρχοντας οὐδὲ σαρμευσει, | αἰ μὴ hόσσα κα ἐν αὐτᾶι τᾶι γᾶι hᾶι μεμίσθωται οἰκοδομήται· οὐδὲ τοφιώνας ἐν τᾶι hιαρᾶι γᾶι ποιησει | οὐδὲ ἄλλον ἐασει· αἰ δὲ μή, hυπόλογος ἐσσήται hως τὰν hιαρὰν γᾶν ἀδικίων. Οἰκοδομησήται δὲ καὶ οἰ|κίαν ἐν τοῖς χώροις τούτοις, βοώνα, μυχόν, ἀχύριον, τὸν μὲν βοώνα τὸ μὲν μᾶκος Fίκατι καὶ δυῶν πο||δῶν, τὸ δὲ εὖρος hοκτὼ καὶ δέκα ποδῶν, τὸν δὲ ἀχύριον μὴ μεῖον τὸ μὲν μᾶκος hοκτὼ καὶ δέκα ποδῶν, | τὸ δὲ εὖρος πέντε καὶ δέκα ποδῶν, τὸν δὲ μυχὸν πέντε καὶ δέκα ποδῶν παντᾶι. Ταῦτα δὲ παρέξοντι οἰκο|δομημένα καὶ στεγόμενα καὶ τεθυρωμένα ἐν τοῖς χρόνοις ἐν hοῖς καὶ τὰ δένδρεα δεῖ πεφυτευκήμεν· αἰ | δὲ μή, κατεδικάσθεν πὰρ μὲν τὸν βοώνα Fὲξ μνᾶς ἀργυρίω, πὰρ δὲ τὸν ἀχύριον τέτορας μνᾶς ἀργυρίω, | πὰρ δὲ τὸν μυχὸν τρὶς μνᾶς ἀργυρίω. Τῶν δὲ ξύλων τῶν ἐν τοῖς δρυμοῖς οὐδὲ τῶν ἐν τοῖς σκίροις οὐ πωλή||σοντι οὐδὲ κόψοντι οὐδὲ ἐμπρήσοντι οὐδὲ ἄλλον ἐάσοντι· αἰ δὲ μή, hυπολόγοι ἔσσονται κὰτ τὰς ῥήτρας | καὶ κὰτ τὰν συνθήκαν. Ἐς δὲ τὰ ἐποίκια χρήσονται ξύλοις ἐς τὰν οἰκοδομὰν hοῖς κα δήλωνται

---

134 *ἐπικαταβαΝοντι* tab., corr. Ahrens Dial. 2, 209 n.

καὶ ἐς τὰς | ἀμπέλως· τῶν δὲ ξηρῶν κόψοντι hόσσα αὐτοῖς ποτ' οἰκίαν ἐς χρείαν· τοῖς δὲ σκίροις καὶ τοῖς δρυμοῖς χρή|σονται τοὶ μισθωσαμένοι ἂν τὰν αὐτῶ μερίδα hέκαστος. Ηόσσαι δέ κα τᾶν ἀμπέλων ἢ τῶν δενδρέων ἀπο|γηράσωντι, ἀποκαταστάσοντι τοὶ καρπιζομένοι hως ἦμεν τὸν ἴσον ἀριθμὸν ἀεί.

Οὐχ ὑπογράψονται ‖ δὲ τὼς χώρως τούτως hοι μισθωσαμένοι οὐδὲ τίμαμα hοίσοντι οὔτε τῶν χώρων οὔτε τᾶς ἐπιοικοδο|μᾶς· αἰ δὲ μή, hυπόλογος ἐσσήται κὰτ τὰς ῥήτρας. Αἰ δέ τίς κα τῶν καρπιζομένων ἄτεκνος ἄφωνος ἀπο|θάνει, τᾶς πόλιος πᾶσαν τὰν ἐπικαρπίαν ἦμεν. Αἰ δέ χ' ὑπὸ πολέμω ἐγϜηληθίωντι hώστε μὴ ἐξῆμεν | τὼς μεμισθωμένως καρπεύεσθαι, ἀνhεώσθαι τὰν μίσθωσιν καθά κα τοὶ Ηηρακλείοι διαγνῶντι καὶ μὴ | ἦμεν hυπολόγως μήτε αὐτὼς μήτε τὼς πρωγγύως τῶν ἐν τᾶι συνθήκαι γεγραμμένων. Τὼς δὲ πρωγγύ‖ως τὼς ἀεὶ γενομένως πεπρωγγυευκῆμεν τῶν τε μισθωμάτων καὶ τῶν ἐπιζαμιωμάτων καὶ τῶν ἀμ|πωλημάτων καὶ τᾶν καταδικᾶν καὶ αὐτὼς καὶ τὰ χρήματα hά κα ἐπιμαρτυρήσωντι, καὶ μὴ ἦμεν μήτε hάρ|νησιν μήτε παλινδικίαν μηδὲ κατ' ἄλλον μηδὲ hένα τρόπον τᾶι πόλι πράγματα παρέχεν μηδὲ τοῖς hυ|πὲρ τᾶς πόλιος πρασσόντασσι· αἰ δὲ μή, ἀτελὲς ἦμεν. Δεύτερος. Ηο δὲ τὸν δεύτερον μισθωσάμενος | καρπευσήται ἀπὸ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν τετρώρων ἀγώσας ἐπὶ τὸν ἄντομον τὸν πρᾶτον hόσ‖σος κ' εἶ καὶ πραξει πάντα κὰτ τὰν συνθήκαν καὶ hυπόλογος ἐσσήται καὶ αὐτὸς καὶ τοὶ πρωγγύοι, hότι κα | μὴ πράξει κὰτ τὰν συνθήκαν. Τρίτος. Ηο δὲ τὸν τρίτον χῶρον μισθωσάμενος καρπευσήται ἀπὸ τῶ ἀν|τόμω τῶ ἀνώτερον τᾶς τριακονταπέδω πὸτ τὸν ἄντομον τὸν δεύτερον ἀπὸ τᾶς τριακονταπέδω καὶ |

πραξει πάντα κὰτ τὰν συνθήκαν καὶ hυπόλογος ἐσσῆται καὶ αὐτὸς καὶ τοὶ πρωγγύοι, hότι κα μὴ πρά|ξει κὰτ τὰν συνθήκαν. Τέταρτος. Ηο δὲ τὸν τέταρτον χῶρον μισθωσάμενος πάρ τε τῶν πολιανό‖μων τῶν ἐπὶ Ἀριστίωνος ἐφόρω καὶ τῶν ὀριστᾶν καὶ πὰρ τῶν πολιανόμων τῶν ἐπὶ Ἀριστάρχω τῶ Ηηρα|κλείδα ἐφόρω hα ἄνθεμα Φιλωνύμω τῶ Φιλωνύμω, hα ἔμβολος Ηηρακλείδα τῶ Τιμοκράτιος καρπευ|σῆται ἀπὸ τῶ ἀντόμω τῶ τρίτω ἀπὸ τᾶς τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν ὀρίζοντα τώς τε τῶ Διο|νύσω χώρως καὶ τὰ Φιντίας hο Κρατίνω παμωχεῖ. Ηο δὲ ἀνhελόμενος ἐργαξῆται τὰ μὲν ἄλλα κὰτ τὰν | συνθήκαν, καθὼς καὶ τὼς λοιπὼς γέγραπται, τὰς δὲ ἀμπέλως τὰς hυπαρχώσας ἐργαξῆται hως βέλτι‖στα· hόσσαι δέ κα τᾶν ἀμπέλων ἀπογηράσκωντι, ποτιφυτευσει hώστε ἀεὶ hυπάρχεν τὸν ἴσον ἀριθμὸν τᾶν | σχοίνων τὸν νῦν hυπάρχοντα, Fίκατι τέτορας σχοίνως· αἰ δὲ μή, προκαδδεδικάσθω δύο μνᾶς ἀργυρίω | πὰρ τὰν σχοῖνον hεκάσταν. Τὰς δὲ ἐλαίας καὶ τὰς συκίας καὶ τὰ ἄλλα δένδρεα τὰ hήμερα τὰ hυπάρχον|τα πάντα ἐν τᾶι μερίδι ταύται περισκαψει καὶ ποτισκαψει καὶ περικοψει τὰ δεόμενα, καὶ αἴ τινά κα γήραι ἢ | ἀνέμωι ἐκπέτωντι, ἀποκαταστασει μὴ μείω τὸν ἀριθμὸν τῶν hυπαρχόντων· ποτιφυτευσει δὲ καὶ ἐλαίας ‖ ἐν τᾶι ψιλᾶι hομολόγως ποΐων τοῖς hυπαρχόντασσι δενδρέοις καὶ τὸν ἀριθμὸν τὸν hίσον καθὼς καὶ ἐν τᾶι | ἄλλαι συνθήκαι γέγραπται. Ηότι δέ κα μὴ πράξει hο ἀνhελόμενος κὰτ τὰν συνθήκαν ἢ μὴ ἐν τοῖς χρό|νοις τοῖς γεγραμμένοις, hυπόλογος ἐσσῆται τοῖς πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς ἐπὶ τῶ Fέτεος |

177 *Εετεος* tab.

καθὼς καὶ ἐν τᾶι ἄλλαι συνθήκαι γέγραπται. Αἱ δέ κα τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν Fετέων ἔντες μὴ πρά|ξωντι πάντα κὰτ τὰν συνθήκαν, αὐτοὶ hυπολόγοι ἔσσονται κὰτ τὰν συνθήκαν.

Ἐπὶ τούτοις ἐμισθώσαν||το τὰν μὲν πράταν μίσθωσιν ἀπὸ τῶν τῶ Ηηρώιδα με κιβώτιον Βορμίων Φιλώτα πεντήκοντα hεπτὰ μεδί|μνων κάδδιχος· πρώγγυος τῶ σώματος με κιβώτιον Ἀρκὰς Φιλώτα. Τὰν δὲ δευτέραν μίσθωσιν hα | ἔμβολος Δάμαρχος Φιλωνύμω τετρώκοντα μεδίμνων· πρώγγυος τῶ σώματος ..... Θεόδωρος Θε|οδώρω. Τὰν δὲ τρίταν μίσθωσιν Fε γυῖον Πεισίας Λεοντίσκω τριάκοντα πέντε μεδίμνων· πρώγγυος | τῶ σώματος κν σφαιρωτῆρες Ἀριστόδαμος .... Τὰν δὲ τετάρταν μίσθωσιν αλ λωτήριον || Φίλιππος Φιλίππω διακατίων hεβδεμήκοντα hοκτὼ μεδίμνων· πρώγγυος τῶ σώματος πε καρυκεῖον | Ἀπολλώνιος Ηηρακλήτω. |

Γραμματεὺς Fε γυῖον Ἀριστόδαμος Συμμάχω· γαμέτρας Χαιρέας Δάμωνος Νεαπολίτας.

II.

Ἔφορος Δάζιμος· hα πόλις | καὶ τοὶ ὁρισταὶ Fε τρίπους Φιλώ|νυμος Ζωπυρίσκω, πε καρυκεῖον | Ἀπολλώνιος Ηηρακλήτω, αι πέλ||τα Δάζιμος Πύρρω Ἀθάναι Πολιάδι. |

Ἀνεγράψαν τοὶ ὁρισταὶ τοὶ hαιρεθέντες ἐπὶ τὼς χώρως τὼς hια|ρὼς τὼς τᾶς Ἀθάνας τὼς ἐν Κοίλαι Φιλώνυμος Ζωπυρίσκω, Ἀπολ|λώνιος Ηηρακλήτω, Δάζιμος Πύρρω, καθὰ ὡρίξαν καὶ συνεμε|τρήσαν καὶ ἐτερμάξαν καὶ ἐμερίξαν τῶν Ηηρακλείων δια||γνόντων ἐν κατακλήτωι ἁλίαι. Συνεμετρήσαμες δὲ ἀρξαμένοι | ἀπὸ

τῶ ἀντόμω τῶ ἀπὸ Καινᾶν ἄγοντος ἐπὶ τὰν hoδὸν τὰν τρι|ακοντάπεδον τὰν ἐπὶ θάλασσαν ἄγωσαν, καὶ ἐγένοντο ἀπὸ | τῶ ἀντόμω ποτὶ τὰν βουβῆτιν τὰν διὰ τῶν γυᾶν ἐκ πόλιος ῥέω|σαν hεπτὰ γύαι, ἀπὸ δὲ τᾶς βουβήτιος ἐπὶ τὰν τριακοντάπεδον || τρεῖς καὶ δέκα γύαι· ἀπὸ δὲ τᾶς τριακονταπέδω ἐπὶ τὰν τριακον|τάπεδον τὰν διὰ τῶν τριhημιγύων ἄγωσαν, καὶ ἐγένοντο | hεννέα τριhημίγυα. Διαβάντες δὲ τὰν τριακοντάπεδον ἐμε-|τρίωμες ποτὶ τὸν Fικατίδειον καὶ ἀπεμετρήσαμες τὸ δέ-κα|τον τριhημίγυον. Τὰ δὲ τρίγυα οὐκ ἐξεποῖον καθὼς τὸ ἀρχαῖον || hευρίσκομες γεγενημένα, ἀλλὰ πενθημίγυον μόνον κα|τελείπετο ἐκ τῶν δυῶν τριγύων, τὰν δὲ λοιπὰν γᾶν Fιδίαν | τινὲς ἐπεποίηντο· ταύταν ἀπεκατεστάσαμες τᾶι Ἀθάναι | κὰτ τὰ ἀρχαῖα. Ἀπὸ δὲ τῶ Fικατιδείω τὰν ἐς ποταμὸν τὸν Ἄκιριν | γᾶν ποτιγενομέναν τὰν ἐμ μέσσωι τᾶς τε hεκατομπέδω || καὶ τᾶς Ηηρακλείας hoδῶ, καὶ ταύταν πᾶσαν Fιδίαν ἐπεποίηντό | τινες· καὶ τοὶ μὲν ἐρίξαντες ἀπέσταν, τοῖς δὲ ἐδικαξάμεθα δίκας | τριακοσταίας· καὶ ἀποκαταστάσαντες τᾶι θεῶι κὰτ τὰ ἀρχαῖα ταύ|ταν τὰν γᾶν κατεδασσάμεθα καὶ ὅρως ἐπάξαμες ἐφ' ἑκάστας τᾶς | μερίδος καὶ ἐποιήσαμες πὰρ τὸ τριhημίγυον τὸ δέκατον πρᾶτον τρί|γυον, ποτθέντες πὸτ τὸ πενθημίγυον ἀφ' ἅς κατεσώιξαμες γᾶς hώσ|τ' ἦμεν ἔκπλεον εὖρος τρίγυον, μᾶκος ἀπὸ τᾶς hεκατομπέδω ἄχρι πὸτ | τὰν Ηηρακλέαν hoδὸν ἀν τὼς ὅρως, καὶ ἐγένοντο σχοίνοι hεκατὸν τρι|άκοντα hoκτὼ ὀρέγματα hoκτώ, ψιλᾶς μὲν hεκατὸν τριάκοντα τρὶς ὀρέγματα Fίκατι | Fὲξ πούς, ἀμπέλων δὲ τέτορες σχοίνοι ὀρέγματα δέκα hὲν πόδες || τρίς. Ηαύτα hα γᾶ ἐμισθώθη τὰν πράταν πενταhετηρίδα διακοσίων | Fεξήκοντα hεννέα μεδίμνων χοὸς δυῶν χοινίκων. Ἀπὸ δὲ τούτω

τῶ | ⟨τῶ⟩ τριγύω ἐμετρήσαμες πὸτ τὸ(ν) Fικατίδειον δεύτερον τρίγυον εὖ|ρος ἀν τὼς ὅρως, μᾶκος ἀπὸ τᾶς hεκατομπέδω ποτὶ τὰν Ηηρακλείαν | hοδόν, καὶ ἐγένοντο σχοίνοι hεκατὸν τριάκοντα hεννέα, ψιλᾶς μὲν hε||κατὸν Fίκατι τρὶς σχοίνοι, ἀμπέλων δὲ δέκα Fὲξ σχοίνοι. Τοῦτο τὸ τρί|γυον ἐμισθώθη Fεξακατίων hενενήκοντα πέντε μεδίμνων. | Διαβάντες δὲ τὸν Fικατίδειον ἐποιήσαμες πράταν μερίδα πὰρ hεκ[α]|τόνπεδον, ἐν hᾶι hα ἀμπελωργικά, καὶ ἐτάμομες κοινὰν πόθοδον ἐκ τῶ | Fικατιδείω πὸτ τὰν οἰκίαν Fικατίπεδον καὶ ἀπὸ τᾶς οἰκίας πὰρ τὰς ἀμ||πέλως ἄχρι ἐς ποταμὸν hοκτάπεδον. Καὶ ἐμετρίωμες ἀπὸ τῶ Fικατιδείω | τὸ ποτ᾿ Ἄκιριν ἐπὶ τὰν διαστολὰν τὰν πλαγίαν τὰν ἀπὸ τᾶς ποθόδω τᾶς κοι|νᾶς ἀγώσας ἐς τὰν hεκατόνπεδον, καὶ ἐγένοντο πεντήκοντα hεννέα σχοί|νοι hημίσχοινον, ψιλᾶς μὲν πεντήκοντα μία ὀρέγματα hεπτά, ἀμπέλων δ[ὲ] | hοκτὼ σχοίνοι ὀρέγματα hοκτώ. Ηαύτα ἐμισθώθη τετρακατίων τεσσαρά[κον]||τα Fὲξ μεδίμνων καδδίχων τεσσάρων. Δευτέρα μερίς, ἐν hᾶι hα οἰκία [ἐ]|στί, μᾶκος ἀπὸ τῶ Fικατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅ|ρων καὶ τᾶς ποθόδω τᾶς hοκταπέδω τᾶς ἐς ποταμὸν ἀγώσας ἐπὶ τὼς ὅρως, | καὶ ἐγένοντο Fεξήκοντα τρεῖς σχοίνοι ὀρέγματα δέκα δύο. Ταύται τᾶι μερίδ[ι] | ποτεδασσάμεθα ἀμπέλων τὰν πράταν διαστολὰν τὰν πὰρ τὰν hεκατόνπε||δον, hοκτὼ σχοίνως ὀρέγματα Fείκατι Fὲξ πόδας δύο, καὶ ἐγένετο hα πάσα μερὶς | hεβδεμήκοντα δύο σχοίνοι ὀρέγματα hοκτὼ πόδες δύο. Ηαύτα ἐμισθώθη Fεξα|κατίων τριάκοντα δυῶν μεδίμνων χοός. Τρίτα μερὶς μᾶκος ἀπὸ τῶ Fεικατι|δείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς δευτέρας | μερίδος ἐπὶ τὼς ὅρως, καὶ ἐγένοντο ψιλᾶς μὲν Fεξή-

κοντα Fὲξ σχοίνοι hημίσχοι||νον. Ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν δευτέραν διαστολὰν ἀφ' ἑκα|τονπέδω, hεπτὰ σχοίνως ὀρέγματα δέκα hεπτά, καὶ ἐγένετο hα πάσα μερὶς hεβδε|μήκοντα τέτορες σχοίνοι ὀρέγματα δύο. Ηαύτα ἐμισθώθη Fεξακατίων τριάκοντα | μεδίμνων δυῶν καδδίχων χοινίκων δυῶν. Τετάρτα μερὶς μᾶκος ἀπὸ τῶ Fι|κατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὅρων τῶν τᾶς τρί||τας μερίδος ἐπὶ τὼς ὅρως καὶ ἐπὶ τὸν ἄντομον τὸν διατάμνοντα τὼς χώρως, τὸν | ἐτάμομες ἐκ τῶ Fικατιδείω ἐς ποταμὸν κοινὸν πᾶσι χρῆσθαι τοῖς τὼς hιαρὼς χώ|ρως μεμισθωμένοις, καὶ ἐγένοντο ψιλᾶς μὲν Fεξήκοντα hοκτὼ σχοίνοι ὀρέγμα|τα δέκα τρία. Ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν διαστολὰν | ἀφ' ἑκατομπέδω τὰν ποτικλαίγωσαν πὸτ τὰν πόθοδον τὰν hοκτάπεδον, δέκα πέντε || σχοίνως ὀρέγματα hεπτά· ἐγένετο hα πάσα μερὶς hογδοήκοντα τρεῖς σχοίνοι ὀρέγμα|τα Fείκατι. Ηαύτα ἐμισθώθη Fεξακατίων τριάκοντα μεδίμνων. Ἀπὸ δὲ τῶ | ἀντόμω τῶ διατάμνοντος τὼς χώρως τῶ ἐς ποταμὸν ἄγοντος τῶ Fι|κατιπέδω ἐμετρίωμες μᾶκος μὲν ἐπὶ τὰν Ηηρακλείαν, εὖρος δὲ ἀπὸ | τῶ Fικατιδείω ἐπὶ τὼς ὅρως τὼς πράτως καὶ κατελίπομες || πόθοδον ἐκ τῶ Fεικατιδείω ποτὶ τὰν οἰκίαν Fεικατίπεδον, καὶ ἐγένετο | hα μερὶς hαύτα ψιλᾶς Fεξήκοντα δύο σχοίνοι. Ταύται τᾶι μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πράταν στάσιν τὰν πὸτ τὸν Fικατίδειον, Fὲξ σχοί|νως hημίσχοινον, καὶ ἐγένετο hα πάσα μερὶς Fεξήκοντα hοκτὼ σχοίνοι hημί|σχοινον. Ηαύτα ἐμισθώθη hοκτακατίων πεντήκοντα Fὲξ μεδίμνων καδδί|χων τετόρων. Δευτέρα μερὶς ἀπὸ τῶ Fικατιδείω, ἐν hᾶι hα οἰκία ἐστί, | ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν

Ηηρακλείαν, εὖ|ρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς πεντήκοντα hεννέα | σχοίνοι hημίσχοινον. Ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων | τὰν δευτέραν στάσιν ἀπὸ Fικατιδείω, Fὲξ σχοίνως hημίσχοινον, καὶ ἐ|γένετο hα πᾶσα μερὶς Fεξήκοντα Fὲξ σχοίνοι. Ηαύτα ἐμισθώθη τετρα|κατίων πεντήκοντα hοκτὼ μεδίμνων καδδίχων δέκα τετόρων δυ|ῶν χοινίκων. Τρίτα μερὶς ἀπὸ τῶ Fικατιδείω πὸτ τὰς ἀμπέλως ἀπὸ τῶ | ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ηηρακλείαν, εὖρος ἀ|πὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς Fεξήκοντα τρὶς σχοίνοι hη|μίσχοινον. Ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν | στάσιν ἀπὸ Fικατιδείω, Fὲξ σχοίνως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα με|ρὶς hεβδεμήκοντα σχοίνοι. Ηαύτα ἐμισθώθη τριακατίων Fὲξ μεδίμνων καδ|δίχων τετόρων. Τετάρτα μερὶς ἀπὸ Fικατιδείω μᾶκος μὲν ἀπὸ τῶ ἀντόμω | τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν πὰρ τὰς ἀμπέλως ἄγωσαν, || εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὼς ὅρως, καὶ ἐγένετο ψιλᾶς τετρώκοντα hοκτὼ | σχοίνοι. Ταύται τᾶι μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τετάρταν στά|σιν ἀπὸ Fικατιδείω, Fὲξ σχοίνως hημίσχοινον, καὶ ἐγένετο hα πᾶσα μερὶς πεν|τήκοντα τέτορες σχοίνοι hημίσχοινον. Ηαύτα ἐμισθώθη διακατίων τριάκον|τα πέντε μεδίμνων καδδίχων δέκα πέντε. Πέμπτα μερὶς ἀπὸ Fικατι|δείω μᾶκος ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν | πὰρ τὰς ἀμπέλως ἄγωσαν, εὖρος ἀπὸ τῶν ὅρων ἐπὶ τὰν νᾶσον, καὶ ἐγέ|νετο ψιλᾶς Fεξήκοντα τέτορες σχοίνοι. Ταύται τᾶι μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πέμπταν στάσιν ἀπὸ Fικατιδείω, hεπτὰ σχοί|νως ὀρέγματα δέκα hεπτὰ πόδας δύο, καὶ ἐγένετο hα πᾶσα μερὶς hεβδε|μήκοντα μία σχοίνοι ὀρέγ-

ματα (δέκα) hεπτὰ πόδες δύο. Hαύτα ἐμισθώθη πενταˌκατίων hογδοήκοντα μεδίμνων καδδίχων δέκα πέντε. Fέκτα μερὶς | τὸ ἔγγωνον τὸ πὰρ τὰς ἀμπέλως τὸ ποτικλαῖγον πὸτ τὰν Ηηρακλείαν κα[ὶ] | πὸτ τὸν ποταμόν, καὶ ἐγένετο ψιλᾶς τριάκοντα σχοίνοι. Ταύται (τᾶι) μερίδι ποˌτεδασσάμεθα ἀμπέλων hοκτὼ σχοίνως hημίσχοινον τὰς ἐχομένας τῶ ‖ χωρί[ω καὶ ἐγέν]ετο [hα] πᾶσα μερὶς τριάκοντα hοκτὼ σχοίνοι hημίσχοινο[ν. | Hαύτα ἐμισθώθη .... hεν]ὸς με[δίμνων ....

Dialectus Argolica.

19. Decretum de opibus Minervae.

Lamina aenea olim Romae in collectione comitis Tyskiewicz, nunc Rotomagi in collectione Dutuit.

Probabiliter exeuntis saec. VI aut ineuntis saec. V. Litteratura Argiva. — Froehner Rev. arch. 3. sér. 18, 50 sq. Robert Monum. ant. dei Lincei 1, 593 sqq. Roehl Imag.[3] p. 67. M. Fraenkel IG. IV 554. — Th. Reinach Rev. d. ét. gr. 4, 171 sqq. Blass Fleckeis. Jhb. 1891, 559 sq. Peppmüller Wochschr. f. klass. Phil. 1891, 860 sqq. R. Meister Idg. Forsch. Anz. 1, 200 sqq. v. Wilamowitz Eur. Herakles 2[2], 103. Danielsson Eranos 1, 28 sqq.

[Θ]ε̄σαυρō̂ν [⁝ τō̂ν] ⁝ τᾶς ⁝ ᾿Αθαναίας ⁝ αἴ τιστις ⁝ | [ἒ̄ τὰ]ν βōλὰν ⁝ τ[ὰν] ἀνφ᾿ ᾿Αρίσστōνα ⁝ ἒ̄ τόν(ς) συναρτύοντας | [ἒ̄ ἄ]λλον τινὰ ταμίαν εὐθύνοι ⁝ τέλος ἔχōν ⁝ ἒ̄ δικάσ|[ζοι] ἒ̄ δικάσζοιτο, ⁝ τō̂ν γρασσμάτōν ⁝ hένεκα τᾶς ⁝ κατα‖θέσιος ⁝ ἒ̄ τᾶς ⁝ ἀλιάσσιος ⁝ τρέτō καὶ δαμευέσσθō ⁝ ἐνς | ᾿Αθαναίαν. ⁝ Hα δὲ βōλὰ ποτελάτō ⁝ hαντιτυχόνσα· ⁝ αἰ | δέ κα μέ, ⁝ αὐτοὶ ⁝ ἐνόχοι ἔντō ⁝ ἐνς ᾿Αθαναίαν.

---

1 *τις* ⟨*τις*⟩ Reinach Blass Danielsson Fraenkel 3 sq. *δικάσ*[*ζōν*] Robert *δικάσ*[*ζοι*] de Friesen apud Danielsson Fraenkel 4 *γρασσμάτōν* Solmsen Rhein. Mus. 56, 497 sqq. 5 *ἀλιάσσιος* Buck Class. Rev. 19, 244 sq.

20. Titulus Atoti et Argiadae.

Basis marmorea Olympiae effossa.

Circa a. 500. Litteratura Argiva. — E. Curtius Arch. Ztg. 1875, 181. 1876, 47. Roehl IGA. 42. Imag.^{3} p. 68. Dittenberger-Purgold Inschr. v. Olympia 631. — Cauer^2 55. Prellwitz Coll.-Becht. 3271. — R. Schöll Hist.-phil. Aufs. E. Curtius gewidmet 117 sqq. v. Wilamowitz Lect. epigr. (Göttingen 1885) 12. Studniczka Ath. Mitt. 11, 449 sq.

Ἄτōτος ⁝ ἐποίϝēhε ⁝ Ἀργεῖος | κἀργειάδας ⁝ Hαγελάιδα ⁝ τἀργείō.

21. Dedicatio Iunoni facta.

Lapis repertus in Heraeo Argivorum, nunc Athenis in museo.

Saec. ut videtur, V. Litteratura Argiva. — Richardson Amer. journ. of arch. 11, 42 sqq. Fraenkel IG. IV 517.

[H]α στάλα ⁝ καὶ hο τελαμὸ(ν) | [ἰ]αρὰ ⁝ τᾶς Hέρας ⁝ τᾶς Ἀργε|[ί]ας. ⁝ Ἰαρομνάμονες ⁝ τοίδε· | Πυρϝαλίōν ⁝ Δυμὰνς ⁝ ἀϝρέτευε, || Ἀλκαμένēς ⁝ Hυλλεύς, | Ἀριστόδαμος ⁝ Hυρνάθιος, | Ἀμφίκριτος Πανφύλ.λας.

22. Titulus de Persei sacello.

Lapis inventus Mycenis in arce.

Probabiliter saec. V ineuntis. Litteratura Argiva. — Tsuntas *Ἐφημ. ἀρχ.* 1892, 67. Fraenkel IG. IV 493.

Αἰ μὲ δαμιοργία εἴē, τὸς ἰαρομνάμονας τὸς ἐς Περσε͂̄ τοῖς γονεῦσι κριτέρας ε̄̓μεν κὰ(τ) τὰ ϝεϝρēμένα.

τὸς an *τὸ̄ς*? *τοσι* lapis *το(ῖ)σι* Fraenkel

23. Lex de sacrificiis in Asclepieo faciendis.

Lapis erutus in Asclepieo Epidauriorum.

Circa a. 400. Litteratura Ionica, quae tamen servavit spiritus asperi notam et litterae ϱ formam vernaculam; *στοιχηδόν*. — Cabbadias *Ἐφημ. ἀρχ.* 1899, 1 sqq. Fraenkel IG. IV 914. — R. Meister Ber. sächs. Ges. d. Wiss. 1899, 150 sqq. Dittenberger Syll.^{2} 938. L. Ziehen Leges sacrae n. 54.

[Τἀπόλλōνι θύεν βο̄͂ν ἔρσ|ενα καὶ ℎομονάοις βο̄͂ν ἔ|ρσενα· ἐπὶ τ]ο[ῦ] β[ōμοῦ τοῦ] | Ἀπόλλō[νος] τα[ῦτα] θ[ύεν κ]||αὶ καλαῖδα τᾶι Λατοῖ κα|ὶ τἀρτάμιτι ἄλλαν, φερν|ὰν το̄͂ι θιο̄͂ι κριθᾶν μέδι|μμνον, σπυρο̄͂ν ℎε̄μίδιμμ|νον, οἴνου ℎε̄μίτειαν κα||ὶ τὸ σσκέλος τοῦ βοὸς το|ῦ πράτου, τὸ δ' ἄτερον σκέ|λος τοὶ ἰαρομμνάμονες | φερόσθō· τοῦ δευτέρου β|οὸς τοῖς ἀοιδοῖς δόντō || τὸ σκέλος, τὸ δ' ἄτερον σκ|έλος τοῖς φρουροῖς δόν|τō καὶ τἐνδοσθίδια. |

Το̄͂ι Ἀσσκλαπιο̄͂ι θύεν βο̄͂|ν ἔρσενα καὶ ℎομονάοις || βο̄͂ν ἔρσενα καὶ ℎομονάα|ις βο̄͂ν θέλειαν· ἐπὶ τοῦ β|ōμοῦ τοῦ Ἀσκλαπιοῦ θύε|ν ταῦτα καὶ καλαῖδα. Ἀνθ|έντō το̄͂ι Ἀσκλαπιο̄͂ι φερ||νὰν κριθᾶν μέδιμμνον, σ|πυρο̄͂ν ℎε̄μίδιμμνον, οἴν|ου ℎε̄μίτειαν· σκέλος το̄͂ | πράτου βοὸς παρθέντō τ|[ο̄͂ι] θιο̄͂ι, τὸ δ' ἄτερον τοὶ ἰ||[αρο]μνάμονες φ[ε]ρόσθō· τ|[οῦ δε]υτέρō τοῖς ἀοιδοῖ|[ς δόντō,] τὸ δ' ἄτερον το[ῖς | φρουροῖς δόντō καὶ τἐν|δοσθίδια.]

Vs. 1 sqq. recepi supplementa quae L. Ziehen benigne mecum communicavit; ad *Τἀπόλλōνι* cf. *Ταἰσκλαπιεῖ* IG. IV 1203 (ubi Fraenkel haud recte *Ηαισκλαπιεῖ*)

Dialectus coloniarum Megaricarum.

24. Dedicatio Selinuntiorum.

Lapidis fragmenta reperta Selinunte in templo Apollinis. Saec. V medii. Litteratura Megarica. — Post alios Benndorf Metopen von Selinunt 27 sqq. Roehl IGA. 515. Imag.[2] 79. Kaibel IG. XIV 268. — Cauer[2] 110. Hicks[2] 34. Bechtel Coll.-Becht. 3046. Dittenberger Syll.[2] 751. — Sauppe Nachr. Gött. Ges. Wiss. 1871, 605 sqq. Holm Rhein. Mus. 27, 353 spq. Blass ib. 36, 615 sq.

[Δι]ὰ τὸς θεὸς τό[σ]δε νικο̄͂ντι τοὶ Σελινον[τίοι· |

1 *Σελινον*[*τίοι*] an *Σελινōντίοι*?

δι]ὰ τὸν Δία νικο̄̄μες καὶ διὰ τὸν Φόβον [καὶ] | δ[ιὰ] Hε̄ρακλέα καὶ δι' Ἀπόλλο̄να καὶ διὰ Π[οτ]|ε[ιδᾶ]να καὶ διὰ Τυνδαρίδας καὶ δι' Ἀθ[α]|ν[ά]αν καὶ διὰ Μαλοφόρον καὶ διὰ Πασικ|ρά[τ]ειαν καὶ δι[ὰ] τὸς ἄλλο̄ς θεός, [δ]ιὰ δ[ὲ] Δία | μάλιστ[α]. Φιλί[ας] δὲ γενομένας ἐν χρυσ|έο̄[ι] ἐλά[σα]ντα[ς, τὰ δ'] ὀνύματα ταῦτα κολ|άψαντ[ας ἐς] τὸ Ἀ[π]ολ[λ]όνιον καθθέμε.ν, τὸ Διὸ[ς προ]γρά[ψα]ντες· τὸ δὲ χρυσίον | ἐξέκ[οντα τ]αλάντο̄ν ἔ̈μεν.

4 *Ἀθ[α]ν[αί]αν* Kaibel Dittenberger 7 sq. *ἐνχρύσεο[ν]* Holm *ἐνχρυσέο̄[ς]* Sauppe Kaibel

---

Dialectus coloniarum Corinthiarum.

25. Tituli sepulcrales Corcyraei.

Lapides reperti Corcyrae.

Probabiliter saec. VI. Litteratura Corinthia.

1. Titulus Menecratis.

Laevorsum uno versu continuo. — Rangabé Ant. Hell. 1 n. 318. Roehl IGA. 342. Imag.[2] p. 73. — Kaibel Epigr. gr. 179. Cauer[2] 83. Blass Coll.-Becht. 3188.

Hυιοῦ Τλασίαϝο Μενεκράτεος τόδε σᾶμα, ⁝
Οἰανθέος γενεάν· τόδε δ' αὐτο̄ι δᾶμος ἐποίει· ⁝
ἐ̄ς γὰρ πρόξενϝος δάμου φίλος· ἀλλ' ἐνὶ πόντο̄ι
ὄ̈λετο, δαμόσιον δὲ καϙὸν ρο ‿ – ‿ ‿ – ⏓. ⁝
Πραξιμένε̄ς δ' αὐτο̄̄ι γ[αία]ς ἀπὸ πατρίδος ἐνθο̄̀ν ⁝
σὺν δάμ[ο̄]ι τόδε σᾶμα κασιγνέτοιο πονέθε̄.

4 *δαμόσιον δὲ κακ[ὸν προσεδέξατο πῆμα]* Philetas apud Ross Fleckeis. Jhb. 1854, 535 sqq. *δαμοσίο̄ν δὲ καφο̄̃ν ῥό[θιον τὸν ἔθαψεν]* Roehl 6 *αὐτοῖ* Schneidewin Gött. gel. Anz. 1845, 984

2. Titulus Arniadae.

Βουστροφηδόν. — Franz Arch. Ztg. 1846, 377 sqq. Roehl IGA. 343. Imag.[2] p. 74. — Kaibel Epigr. gr. 180. Cauer[2] 84. Hicks[2] 2. Blass Coll.-Becht. 3189.

Σᾶμα τόδε Ἀρνιάδα Χάροπος· τὸν δ᾽ ὄ̄λε|σεν Ἄρε̄ς βαρνάμενον παρὰ ναυσ|ὶν ἐπ᾽ Ἀράθθοιο ῥhοϝαῖσι πολλὸ|ν ἀριστεύ⟨τ⟩οντα κατὰ στονόϝε(σ)σαν ἀϝυτάν.

---

1 *Ἀρνιάδα Χάροπος· τὸν δ᾽* Blass *Ἀρνιάδα· χαροπὸς τόνδ᾽* priores 4 *ἀριστεύϝοντα* Kaibel

3. Titulus Xenvaris.

Laevorsum. — Decharme apud Egger Comptes rendus de l'ac. d. inscr. 1866, 393 sqq. Roehl IGA. 344. Imag.[2] p. 73. — Kaibel Epigr. gr. 181. Cauer[2] 85. Blass Coll.-Becht. 3190.

Στάλα Ξενϝάρεος τοῦ Μhείξιός εἰμ᾽ ἐπὶ τύμο̄ι.

Dialectus Dorica Peloponnesi quae definiri nequit.

26. Titulus Xuthiae.

Tabula aenea inventa ad vicum Piali haud procul a vetere Tegea.

Saec. V exeuntis. Litteratura, ut videtur, Arcadica. — Eustratiades *Ἐφημ. ἀρχ.* 1869, 341 sqq. Kirchhoff Monatsber. Berl. Akad. 1870, 51 sqq. Roehl IGA. 68. Imag.[2] p. 85. R. Meister Ber. sächs. Ges. d. Wiss. 1896, 266 sqq. — G. Curtius Stud. 2, 450. Fick Bezz. Beitr. 5, 324 sq. Pischel ib. 7, 335 sq. Cauer[2] 10. Müllensiefen De tit. Lacon. dialecto (Diss. phil. Argent. VI) n. 21. R. Meister Coll - Becht. 4598. Idem, Dorer und Achäer I (Abh. sächs. Ges. d. Wiss. 24, 3) 7 sqq. K. Meister Idg. Forsch. 18, 77 sqq.

A. Ξουθίαι ⁝ το̂ι Φιλαχαίο̄ ⁝ διακατί|αι μναῖ. ⁝ Αἴ κ᾽ αὐτὸς ε̂ι, ἴτο̄ ἀνελέσ|θο̄· ⁝ αἰ δέ κ᾽ ἀποθάνε̄ι, ⁝ το̂ν τέκνο̄ν ⁝ | ἔ̄μεν, ⁝ ἐπεί κα πέντε ϝέτεα ⁝ ‖ hε̄βο̂ντι· ⁝ αἰ δέ

A 2 [ε̄]ῖ *το̂* (*τὸ*) Eustratiades [*ζό̄ε̄, αὐτὸς*] Kirchhoff *αὐτὸς* [*ζό̄ε̄*], Roehl Cauer [*ζό̄ε̄, αὐτὸς τοῦ*]*το* Müllensiefen *ε̃ι, ἴτο̄* R. Meister

κα μὲ γένēτα|ι τέκνα, τō̃ν ἐπιδικατō̃ν ἔμεν· | διαγνόμεν δὲ ⁝ τὸς Τεγεάτα[ς] | κὰ(τ) τὸν θεθμόν.

B. Ξουθίαι παρκα(θ)θέκα τō̃ι Φιλαχα|ίō τετρακατίαι μναῖ ἀργυρίō. Εἰ μ|έν κα ζόε̄, αὐτὸς ἀνελέσθō· αἰ δέ κ|α μὲ ζόε̄, τοὶ υἱοὶ ἀνελόσθō τοὶ γνε̄||σίοι, ἐπεί κα ἐβάσōντι πέντε Fέτε|α· εἰ δέ κα μὲ ζō̃ντι, ταὶ θυγατέρες | ἀνελόσθō ταὶ γνε̄σίαι· εἰ δέ κα μὲ | ζō̃ντι, τοὶ νόθοι ἀνελόσθō· εἰ δέ κα | μὲ νόθοι ζō̃ντι, τοὶ ’ς ἄ(σ)σιστα πόθικ||ες ἀνελόσθō· εἰ δέ κ’ ἀνφι(λ)λέγōντ|(ι, τ)οὶ Τεγεάται διαγνόντō κὰ(τ) τὸν θεθμόν.

6 *πετνετον* Eustratiades *πέ[ντ]ε* [*Fε*]*τō̃ν* Kirchhoff Müllensiefen *πέ[ντ]ε* [*Fε*]*τ*[*έ*]*ōν* Roehl Cauer *τέκνα, τō̃ν* R. Meister
B 2 *TIETRA-* aes, quod *τζετρα-* intellegi vult K. Meister
9 *τοὶ ’ς ἄσιστα* aut *τοὶ ’σάσιστα* B. Keil Gött. Nachr. 1899, 148, *τοὶ⟨ς⟩ἄσ(σ)ιστα* priores 10 *ἀνφι(λ)λέγōντ(ι* cf. n. 36 A 42. D 23 et Idg. Forsch. Anz. 11, 78; *ἀνφιλέγōντ*|*οι, Τεγεᾶται* K. Meister

---

B. Insulae maris Aegaei.

Dialectus Theraea.

27. Tituli rupi incisi.

Inventi Therae in rupe prope epheborum gymnasium.

Probabiliter saec. VII. Litteratura Theraea. — Hiller v. Gaertringen IG. XII 3, 536 cum add. in fasc. III. suppl. Blass Coll.-Becht. 4787. — Kaibel Gött. Nachr. 1901, 509 n. 1.

Πhειδι(π)πίδας ὄιπhε. — Τιμαγόρας καὶ Ἐνπhέρης καὶ ἐγō̈ιπh[ομες]. — Ἔνπυλος τάδε — πόρνος. — Ἐνπεδοκλῆς ἐνεϙόπτετο τάδε — ϙόρκhε̄το μὰ τὸν Ἀπό(λ)λō.

πόρνος alia manu adiectum

28. Titulus Aglotelis.

Inventus Therae in monte S. Eliae.

Probabiliter saec. VI exeuntis aut V ineuntis. Litteratura Theraea. — Hiller v. Gaertringen Hermes 36, 134 sqq. IG. XII 3 suppl. 1324. — Studniczka Gött. gel. Anz. 1901, 545.

Ἀγλōτέλης πράτισ|τος ἀγοραν hικάδι | Κα[ρ]νῆια θεον δεί|πν[ι]ξεν hόνιπαντίδα ·|| καὶ Λακαρτō̄ς.

29. Titulus de sacrificiis matri deorum faciendis.

Lapis repertus prope urbem Theram.

Saec. IV. Litteratura volgaris. — Goettling Bullet. dell' Inst. Rom. 1841, 57 sqq. Boeckh CIG. 2465 f. Hiller v. Gaertringen IG. XII 3, 436. — Dittenberger Syll.² 630. Blass Coll.-Becht. 4765. L. Ziehen Leges sacrae n. 128.

Οὖροι ⁝ γᾶς | θεῶν ματρί. | Θεὸς ἀγαθᾶι τ|ύχαι ἀγαθοῦ δ||αίμονος. Θυσία | Ἀρχίνου· τῶι ἔτ|ει τῶι πρατίστ|ωι θύσοντι βοῦ|ν καὶ πυρῶν ἐγ || μεδίμνου ⁝ καὶ | κριθᾶν ἐγ δύο μ|εδίμνων καὶ οἴνο|υ μετρητὰν καὶ ἄλλα | ἐπάργματα ὧν αἱ ὧρ||αι φέρουσιν, μηνὸς Ἀρτε|μισίου πέμπται ἱσταμ|ένου καὶ μηνὸς Ὑακινθίο|υ πέμπται ἱσταμένου.

Dialectus Cretica.

30. Leges Gortyniae.

Murus lapideus repertus anno 1884 in alveo rivi molam versantis prope vicum Hagioi Deka loco veteris Gortynae; fragmenta columnarum VIII, IX, XI iam antea innotuerunt.

Probabiliter circa medium saec. V. Litteratura Cretica carens notis litterarum *φεῖ* et *χεῖ*; *βουστροφηδόν*. — Fabricius Athen. Mitt. 9, 363 sqq. Comparetti Mus. ital. di ant. class. 1, 233 sqq. (ex apographis Halbherri et Fabricii). Id. Monum. antichi dei Lincei 3, 93 sqq. (e novo apographo Halbherri). Roehl Imag.² p. 5 sqq. — Buecheler et Zitelmann Rhein. Mus. 40 Suppl. J. et Th. Baunack Die Inschrift von Gortyn, Leipzig 1885. Blass Fleckeis. Jhb. 1885, 479 sqq. Coll.-Becht. 4991. Dareste-Haussoullier-Reinach Inscr. jurid. XVII. De ceteris commentariis et commentariolis ad illustrandum titulum conscriptis v. Comparetti Mon. ant. l. l. p. IX sqq.; adicienda ex numero recentiorum inprimis commentatio K. Meisteri: Der syntaktische Gebrauch des Genetivs in den kret. Dialektinschr. Idg. Forsch. 18, 133 sqq.

I Θιοί. | Ὄς κ' ἐλευθέρο̄ι ἒ δόλο̄ι μέλλε̄ι ἀν|πιμο̄λε̄͂ν, πρὸ δίκας μὲ ἄγεν· αἰ δ|έ κ' ἄγε̄ι, καταδικακσάτο̄ το̄͂ ἐλευθέρ|ο̄ δέκα στατέρανς, το̄͂ δόλο̄ πέντ||ε, ὅτι ἄγει, καὶ δικακσάτο̄ λαγάσαι | ἐν ταῖς τρισὶ ἀμέραις. Αἰ [δέ] κα | μὲ̄ [λαγ]άσει, καταδικαδδέτο̄ το̄͂ μὲν | ἐλευθέρο̄ στατέρα, το̄͂ δόλο̄ [δα]ρκν|ὰν τ[ᾶ]ς ἀμέρας Fεκάστας, πρίν κα λα||γάσει· το̄͂ δὲ κρόνο̄ τὸν δι[κ]αστ|ὰν ὀμνύντα κρίνεν. — Αἰ δ' ἀννίοιτο | μὲ ἄγεν, τὸν δικαστὰν ὀμνύντ|α κρ[ί]νεν, αἰ μὲ ἀποπο̄νίοι μαῖτυς. | Αἰ δέ κα μο̄λε̄͂ι ὁ μὲν ἐλεύθε[ρ]ον, || ὁ δ[ὲ δ]ο̄͂λον, κάρτονανς ἔ̄με̄ν | [ὄττο]ι κ' ἐλεύθερον ἀποπο̄νίο̄ν|τι. Αἰ δέ κ' ἀνπὶ δόλο̄ι μο̄λίο̄ντι | πο̄νίοντες Fὸν Fεκάτερος ἔ̄μ|ε̄ν, αἰ μέν κα μαῖτυς ἀποπο̄νε̄͂ι, κ||ατὰ τὸν μαίτυρα δικάδδεν, αἰ | δέ κ' ἒ ἀνποτέροις ἀποπο̄νίο̄ντι | ἒ με̄δατέρο̄ι, τὸν δικαστὰν ὀ|μνύντα κρίνεν. Ἐ̣ δέ κα νικαθε̄͂ι ὁ | ἔκο̄ν, [τ]ὸμ μὲν ἐλεύθερον λαγ||άσαι τᾶν πέ[ν]τ' ἀμερᾶν, τὸν δὲ δο̄͂|λ[ον] ἐς κέρανς ἀποδόμε̄ν. Αἰ δέ | κα μὲ̄ λαγάσει ἒ μὲ ἀποδο̄͂ι, δικακ|σάτο̄ νικε̄͂ν το̄͂ μὲν ἐλευθέρο̄ | πεντέκοντα στατέρανς καὶ σ||τατέρα τᾶς ἀμέρας Fεκάστ|ας, πρίν κα λαγάσει, το̄͂ δὲ δόλο̄ | δέκα στατέρανς καὶ δαρκνὰν | τᾶς ἀμέρας Fεκάστας, πρίν κ' ἀ|ποδο̄͂ι ἐς κέρανς. Ἐ δέ κα καταδι||κάκσει ὁ δικαστάς, ἐνιαυτο̄͂ι π|ράδδεθθαι τὰ τρίτρα ἒ μεῖον, | πλίον δὲ μέ· το̄͂ δὲ κρόνο̄ τὸν δι|καστὰν ὀμνύντα κρίνεν. Αἰ δέ | κα ναεύε̄ι ὁ δο̄͂λος ὄ̄ κα νικαθε̄͂||ι, καλίο̄ν ἀντὶ μαιτύρο̄ν δυο̄͂ν δ|ρομέο̄ν ἐλευθέρο̄ν ἀποδεικσάτ|ο̄ ἐπὶ το̄͂ι ναο̄͂ι ὀπε̄͂ κα ναεύε̄ι ἒ α|ὐτὸς ἒ ἄ(λ)λος πρὸ τούτο̄· αἰ

Contuli cum ectypo gypseo in museo archaeologico Bonnensi asservato. In distinguendis litteris *E* et *O* secutus sum titulos recentiores Gortynios, inprimis inscriptiones 'muri septentrionalis'. I 2 *μὲ* W. Schulze KZ. 33, 133 sqq., *μὲ̄* Heikel Öfversigt af Finska Vetenskaps-Societetens Förhandlinger 46 (1903/4), No. 7, 1 sqq. 16 [*ὄτερο*]*ί* Blass

δέ | κα μὲ καλε̂ι ἒ μὲ δείκσει, κατισ‖[τάτ]ō τὰ ἐ[γρα](μ)μένα. Αἰ δέ κα μēδ' | αὐτὸν ἀποδο̂ι ἐν το̂ι ἐνιαυτο̂ι, | τὰνς ἀπλόονς τ[ι]μὰνς ἐπικατ|αστασεῖ. — Αἰ δέ κ' ἀποθάνēι μ|ōλιομένας τᾶδ δί[κα]ς, τὰν ἀπλ|όον τιμὰν καταστασεῖ. — Αἰ δ|έ κα κοσ[μ]ίōν ἄγēι ἒ κοσμίοντο|ς ἄλλος, ἒ κ' ἀποστᾶι, μōλε̂ν, καἴ κ|α νικαθε̂ι, κατιστάμēν ἀπ[. .]ς | [. . . . .]ς ἄγαγε τὰ ἐγρα(μ)μένα. — ‖ [Τὸ]ν δὲ νενικα-

II μένο[ν] κα[ὶ τὸν κα]‖|τακείμενον ἄγοντι ἄπατον | ἔμēν.

Αἴ κα τὸν ἐλεύθερον ἒ | τὰν ἐλευθέραν κάρτει οἴπēι, ἑκα|τὸν στατέρανς καταστασεῖ· α‖ὶ δέ κ' ἀπεταίρō, δέκα· αἰ δέ κ' ὁ δο̂λο|ς τὸν ἐλεύθερον ἒ τὰν ἐλευθέρα|ν, διπλεῖ καταστασεῖ· αἰ δέ κ' ἐλε|ύθερος Fοικέα ἒ Fοικέαν, πέντε | δαρκνάνς· αἰ δέ κα F[ο]ικεὺς Fοικέα ‖ ἒ Fοικέαν, π[έν]τε στατέρανς. — Ἐνδοθιδίαν δόλαν αἰ κάρτει δαμ|άσαιτο, δύο στατέρανς καταστ|ασεῖ· αἰ δέ κα δεδαμν[α]μέναν πε|δ' ἀμέραν, [ὀ]δελόν, αἰ δέ κ' ἐν νυτ‖τί, δύ' ὀδελόνς· ὀρκιōτέραν δ' ἔ|μēν τὰν δόλαν. — Αἴ κα τὰν ἐ|λευθέραν ἐπιπēρέται οἴπεν ἀκε|ύοντος καδεστᾶ, δέκα στατέ|ρανς καταστασεῖ, αἰ ἀποπōνίο‖ι μαῖτυς. — Αἴ κα τὰν ἐλευθέραν | μοικίōν αἰλεθε̂ι ἐν πατρὸς ἒ ἐν ἀ|δελπιο̂ ἒ ἐν το̂ ἀνδρός, ἑκατὸν | στατέρανς καταστασεῖ· αἰ δέ κ' ἐ|ν ἄ(λ)λō, πεντέκοντα· αἰ δέ κα τὰν ‖ το̂ ἀπεταίρō, δέκα· αἰ δέ κ' ὁ δο̂λος [τὰ]|ν ἐλευθέραν, διπλεῖ καταστασε|ῖ· αἰ δέ κα δο̂λος δόλō, πέν|τε. ΠροFειπάτō δὲ ἀντὶ μαιτ|ύρōν τριο̂ν τοῖς καδεσταῖ‖ς το̂ ἐναιλεθέντος ἀλλύεθ|θαι ἐν ταῖς πέντ' ἀμέραις· | το̂ δὲ δόλō το̂ι πάσται ἀντὶ | μαιτύρōν δυο̂ν. — Αἰ δέ κα μ|ὲ ἀλλύσεται, ἐπὶ τοῖς ἑλόν‖σι ἔμēν κρέθθαι ὀπᾶι κα λε|ίōντι. — Αἰ δέ

I 50 *κατιστασει* lap. 53 *ἀπ'* [*ἅ*]*ς* | [*ἁμέρα*]*ς* Buech.-Zit. *ἀπ'* [*ἅς*] *σ*|[*ōμελ*](*ὲ*)*ς* Comp. 55 *νενικαμένō* Buech.-Zit. II 17 *ἐπιπέρεται* i. e. *ἐπιφέρηται* Buech.-Zit. 36. 44 *δολο̂σαθθαι* Comp.

κα πο̄νε̄̂ι δολό|σαθθαι, ὀμόσαι τὸν ἑλό|ντα τō̂ πεντε̄κονταστατέ|ρο̄ καὶ πλίονος πέντον αὐ||τὸν Ϝὶν αὐτō̂ι Ϝέκαστον ἐπ|αριόμενον, τō̂ δ' ἀπεταίρο̄ | τρίτον αὐτόν, τō̂ δὲ Ϝοικέ|ος τὸν πάσταν ἄτερον αὐτ|ὸν μοικίοντ' ἑλέν, δολό̄σαθ||θαι δὲ με̄́.

Αἴ κ' ἀνὲρ [κα]ὶ [γυ]|νὰ διακρ[ί]νο̄ν[τ]αι, τὰ Ϝὰ α|ὐτᾶς ἔκεν, ἄτι ἔκονσ' ε̄̂ιε π|ὰρ τὸν ἄνδρα, καὶ τō̂ καρπō̂ τ|ὰνν ἐμίναν, αἴ κ' ε̄̂ι ἐς τō̂ν Ϝō̂||ν αὐτᾶς κρε̄μάτο̄ν, κὄ̄τι | κ' ἐνυπάνει τὰν [ἐ̄μίνα]ν ἄτι | κ' ε̄̂ι καὶ πέντε στατερανς, αἴ κ' ὁ ἀ|νὲρ αἴτιος ε̄̂ι τᾶς |κε̄[ρ]εύσι|ος· α[ἰ] δὲ πο̄νίοι ὁ ἀνὲρ [αἴτι||ος με̄̀ ἔ̄]μεν, τὸν δικαστὰν ||| ὀμνύντα III κρίνεν. Αἰ δέ τι ἄλλ|ο πέροι τō̂ ἀνδρός, πέντε στ|ατέρανς καταστασεῖ κὄ̄τι | κα πέρε̄ι αὐτόν, κὄ̄τι κα παρ||έλε̄ι ἀποδότο̄ αὐτόν· ὄ̄ν δέ κ' | ἐκσαννέσεται δικάκσαι τ|ὰν γυναίκ' ἀπομόσαι τὰν Ἄρ|τεμιν πὰρ Ἀμυκλαῖον πὰρ τὰν | Τοκσίαν. Ὄτι δέ τίς κ' ἀπομο||σάνσαι παρέλε̄ι, πέντε στατ|έρανς καταστασεῖ καὶ τὸ κρ|έος αὐτόν. — Αἰ δέ κ' ἀλλόττρι|ος συνε(σ)σάδδε̄ι, δέκα στ[ατ]έ|ρανς καταστασεῖ, τō̂ δὲ κρέ||ιος διπλεῖ ὅτι κ' ὁ δικαστὰς | ὀμόσει συνεσσάκσαι. — | Αἰ ἀνὲρ ἀποθάνοι τέκνα κατ|αλιπόν, αἴ κα λε̄̂ι ἁ γυνά, τὰ Ϝὰ | αὐτᾶς ἔκονσαν ὀπυίεθθα||ι κἄτι κ' ὁ ἀνὲδ δō̂ι κατὰ τὰ ἐγ|ραμμένα ἀντὶ μαιτύρο̄ν τρ|ιō̂ν δρομέο̄ν ἐλευθέρο̄ν· αἰ | δέ τι τō̂ν τέκνο̄ν πέροι, ἔνδι|κον ἔ̄με̄ν. Αἰ δέ κα ἄτεκνον || καταλίπε̄ι, τά τε Ϝὰ αὐτᾶς ἔκε|ν κὄ̄τ[ι] κ' ἐν[υ]πάνει [τ]ὰν ἐμ[ί]ν|αν κα[ὶ τ]ō̂ καρπ[ō̂] τō̂ ἔνδ[ο]θεν π|εδὰ τō̂ν ἐπιβαλλόντ[ο̄ν] μοίρα|ν λακὲ[ν] καἴ τί κ' ὁ ἀνὲδ δō̂ι ἆι ἔγ||ρατται· αἰ δέ τι ἄλλο πέροι, ἔν|δικον ἔ̄με̄ν. — Αἰ δὲ γυνὰ ἄτεκ|νος ἀποθάνοι, τά τε Ϝὰ | αὐτᾶς τοῖς ἐπιβάλλονσι ἀπ|οδόμε̄ν κὄ̄τι ἐνύπανε τὰν ἐ||μίναν καὶ τō̂ καρπō̂, αἴ κ' ε̄̂ι ἐς |

47 *ἄτι* Buck Class. Rev. 19, 247 III 29 *τακ-* in lapide exstare omnes consentiunt, sed in ectypo potius *λακ-* deprehendere mihi videor

τō̂ν Ϝō̂ν αὐτᾶς, τὰν ἐμίνα|ν. Κόμιστρα αἴ κα λε̂ι δόμēν | ἀνὲρ ἒ γυνά, ἒ Ϝε̂μα ἒ δυόδεκ|α στατέρανς ἒ δυόδεκα στατ||έρōν κρέος, πλίον δὲ μέ. — Αἴ κ|α Ϝοικέος Ϝοικέα κριθε̂ι δōō̂ | ἒ ἀποθανόντος, τὰ Ϝὰ αὐτᾶ|ς ἔκεν· ἄλλο δ' αἴ τι πέροι, ἔνδ|ικον ἔμēν.

Αἰ τέκοι γυνὰ κ||ε̄[ρ]ε[ύο]νσα, ἐπελεύσαι τō̂ι ἀ|νδρὶ ἐπὶ στέγαν ἀντὶ μαιτ|ύρōν τριō̂ν. Αἰ δὲ μὲ δέκσαι|το, ἐπὶ τᾶι ματρὶ ἔμēν τὸ τέκ|νον ἒ τράπεν ἒ ἀποθέμēν· ὀρκ||ιōτεροδ δ' ἔμēν τὸς καδεστ|ὰνς καὶ τὸς μαίτυρανς, αἰ | ἐπε̄λεύσαν. — Αἰ δὲ Ϝοικέα τέ|κοι κε̄ρεύονσα, ἐπελεύσαι | τō̂ι πάσται τō̂ ἀνδρός, ὂς ὄ||πυιε, ἀντὶ μαιτύρōν IV [δυ]ō̂ν. ||| Αἰ δέ κα μὲ δέκσεται, ἐπὶ τō̂ι | πάσται ἔμēν τὸ τέκνον τō̂ι τ|ᾶς Ϝοικέας. Αἰ δὲ τō̂ι αὐτō̂ι αὖ|τιν ὀπυίοιτο πρὸ τō̂ ἐνιαυτ||ō̂, τὸ παιδίον ἐπὶ τō̂ι πάσται | ἔμēν τō̂ι τō̂ Ϝοικέος. Κὀρκιό|τερον ἔμēν τὸν ἐπελεύσαν|τα καὶ τὸς μαίτυρανς. — Γ|υνὰ κε̄ρεύονσ' αἰ ἀποβάλοι || παιδίον πρὶν ἐπελεύσαι κα[τ]|ὰ τὰ ἐγραμμένα, ἐλευθέρō μ|ὲν καταστασεῖ πεντέκοντα | στατέρανς, δόλō πέντε καὶ Ϝ|ίκατι, αἴ κα νικαθε̂ι. Ὀ̂ι δέ κα μ||ὲ [ἐ̂ι τ]ις (σ)τέγα ὄπυι ἐπελευσε|ῖ, ἐ αὐτὸν μὲ ὀρε̂ι, αἰ ⟨αι⟩ ἀποθ|είε̄ τὸ παιδίον, ἄπατον ἔμēν. — | Αἰ κύσαιτο καὶ τέκοι Ϝοικ|έα μὲ ὀπυιομένα, ἐπὶ τō̂ι τ[ō̂] || πατρὸς πάσται ἔμēν τὸ τ|έκνον· αἰ δ' ὁ πατὲρ μὲ δόοι, ἐ|πὶ τοῖς τō̂ν ἀδελπιō̂ν πάσ|ταις ἔμēν.

Τὸν πατέρα τō̂ν | τέκνōν καὶ τō̂ν κρε̄μάτōν κ||αρτερὸν ἔμēν τᾶδ δαίσιος | καὶ τὰν ματέρα τō̂ν Ϝō̂ν αὐ|τᾶς κρε̄μάτōν. Ἆς κα δόōντι, | μὲ ἐπάνανκον ἔμēν δατέ|θθαι· αἰ δέ τις ἀταθείε̄, ἀποδ||άτταθθαι τō̂ι ἀταμένōι ἆ|ι ἔγρατται. Ἐ δέ κ' ἀποθάνε̄ι τις, | (σ)τέγανς μὲν τὰνς ἐν πόλι κἄ|τι κ' ἐν ταῖς (σ)τέγαις ἐνε̂ι, αἶ|ς κα μὲ Ϝοικεὺς ἐνϜοικε̂ι ἐπ||ὶ κόραι Ϝοικίō̂ν, καὶ τὰ πρόβατα κα|ὶ καρτα[ί]ποδα, ἅ κα μὲ Ϝοικέος ἐ̂ι, | ἐπὶ τοῖς υἱάσι ἔμēν,

τὰ δ' ἄλ|λα κρέματα πάντα δατέθθα|ι καλός, καὶ λανκάνεν τὸς μ|ὲν υἱύνς ὀπόττοι κ' ἴōντι δύ|ο μοίρανς Ϝέκαστον, τὰδ δ|ὲ θυγατέρανς ὀπότται κ' ἴōν|τι μίαν μοίραν Ϝεκάσταν. Δ|ατέθ[θ]αι δὲ καὶ τὰ ματρ[ō̂]ια, ἔ̄ || κ' ἀποθά[νε̄]ι, ᾇπε[ρ] τὰ [πατρō̂ι'] | ἔ[γρατт]αι. Αἰ δὲ κρέματα μὲ εἶ|ε̄, στέγα δέ, λακὲν τὰθ θ[υ]γατέ|ρας ᾇι ἔγρατται. — Αἰ δέ κα λε̄̂|ι ὁ πατὲρ δōὸς ἰὸν δόμε̄ν τᾷ||ι ὀπυιομέναι, δότō κατὰ τ|ὰ ἐγραμμένα, πλίονα δὲ μέ. — | Ὀτείαι δὲ πρόθθ' ἔδōκε ἒ ἐπέσ|πενσε, ταῦτ' ἔκεν, ἄλλα δὲ μὲ ||| ἀπολαν[κά]νεν. Γυνὰ ὀ[τ]εία κ|ρέ̄ματα μὲ ἔκει V

ἒ [πα]τρὸδ δό|ντος ἒ ἀ[δ]ελπιō̂ ἒ ἐπισπέν|σαντος ἒ ἀπολα[κ]όνσα ᾇ|ι ὄκ' ὁ Αἰθ[α]λεὺς (σ)ταρτὸς ἐκοσ|μίον οἱ σὺν Κύ[λ]λōι, ταύτ|ας μὲν ἀπολανκάνεν, ταῖ|δ δὲ πρόθθα μὲ ἔ[ν]δικον ἔ̄μ|ε̄ν. — Ἔ κ' ἀπ[ο]θάνε̄ι ἀνὲρ ἒ γυν||ά, αἰ μέν κ' ἔ̄ι τέκνα ἒ ἐς τέ|κνōν τέκνα ἒ ἐς τουτō̂ν τέ|κνα, τουτος ἔκε[ν] τὰ κρέμα|τα. — Αἰ δέ κα μέτις ἔ̄ι τουτō̂|ν, ἀ⟨α⟩δελπιοὶ δὲ τō̂ ἀποθανόν||τος κἐκς ἀδε[λ]πιō̂ν τέκν|α ἒ ἐς τουτō̂ν τέκνα, τουτ|ος ἔκεν τὰ κρέματα. Αἰ δέ κα | μέτις ἔ̄ι τουτō̂ν, ἀδευπιαὶ δ|ὲ τō̂ ἀποθανόντος κἐς ταυτ||ᾶν τέκνα ἒ ἐς τō̂ν τέκνōν τέ|κνα, τουτος ἔκεν τὰ κρέμα|τα. — Αἰ δέ κα μέτις ἔ̄ι τουτō̂ν, | οἷς κ' ἐπιβάλλε̄ι ὀπō̂ κ' ἔ̄ι τὰ κρ|έματα, τουτος ἀναιλέθθα||ι. — Αἰ δὲ μὲ εἶεν ἐπιβάλλοντε|ς, τᾶς Ϝοικίας οἵτινές κ' | ἴōντι ὁ κλᾶρος, τούτονς ἔ|κεν τὰ κρέματα. — Αἰ δέ κ' οἱ | ἐπιβάλλοντες οἱ μὲν λεί||ōντι δατέθθαι τὰ κρέματ|α, οἱ δὲ μέ, δικάκσαι τὸν δι|καστὰν ἐπὶ τοῖλ λείονσι δ|ατέθθαι ἔ̄με̄ν τὰ κρέματα π|άντα, πρίν κα δάττονται. || Αἰ δέ κα δικάκσαντος τō̂ δ|ικαστᾶ κάρτει ἐνσείε̄ι ἒ ἄ|γε̄ι ἒ πέρε̄ι, δέκα στατέραν|ς καταστασεῖ καὶ τō̂ κρέϊ|ος διπλεῖ. — Τνατō̂ν δὲ καὶ καρ||πō̂ καὶ Ϝέμας κἀνπιδέμας κ|ἐπιπολαίōν κρεμάτōν, αἴ κα μ|ὲ λείōντι δατέ[(θ)θαι ᾇι

ἔγρα](τ)τα|[ι, (τὸν) δικαστ]ὰν ὀμνύντα κρίνα|ι πορτὶ τὰ μōλιόμενα. — [Α]ὶ [δ]|έ κα κρέματα δατιομένοι | μὲ συνγιγνόσκōντι ἀν|πὶ τὰν δαῖσιν, ὀνε̄ν τὰ κρέμ|ατα κο̄ς κα πλεῖστον διδ|ο̄ι ἀποδομένοι τᾶν τιμᾶν || δια[λ]ακόντōν τὰν ἐπαβο|λὰν Ϝέκαστος. — Δατιομέ|νοιδ δὲ κρέματα μαίτυρα|νς παρέμε̄ν δρομέανς ἐλε|υθέρονς τρίινς

VI ἒ πλίανς. ||| Θυγατρὶ ἐ διδοῖ, κατὰ τὰ αὐτά. —

Ἀς κ' ὁ πατὲδ δόε̄ι, το̄ν το̄ π|ατρὸς κρε̄μάτōν πὰρ υἱέος | μὲ ὀνέθθαι με̄δὲ καταθίθ|εθθαι· ἄτι δέ κ' αὐτὸς πάσετ|αι ἒ ἀπολάκε̄ι ἀποδιδόθθō, | αἴ κα λε̄ι. Με̄δὲ τὸν πατέρα τὰ το̄|ν τέκνōν ἄτι κ' αὐτοὶ πάσον|ται ἒ ἀπολάκōντι, — με̄δὲ τὰ τ|ᾶς γυναικὸς τὸν ἄνδρα ἀπο|δό(θ)θαι με̄δ' ἐπισπένσαι, με̄δ' | υἱὺν τὰ τᾶς ματρός. — Αἰ δ|έ τις πρίαιτο ἒ κατάθειτο ἒ ἐ|πισπένσαιτο, ἀλλᾶι δ' ἔγρατ||[τα]ι ᾶι τάδε τὰ γράμματα ἔγ|[ρατται, τὰ] μ[ὲ]ν| κρέματα ἐπὶ τᾶι ματρὶ ἔμ|εν κἐπὶ τᾶι γυναικί, ὁ δ' ἀπο|δόμενος ἒ καταθὲνς ἒ ἐπι||σπένσανς το̄ι πριαμένōι | ἒ καταθεμένōι ἒ ἐπισπεν|σαμένōι διπλεῖ καταστα|σεῖ καἴ τί κ' ἄλλ' ἄτας ἐ̄ι, τὸ ἀπ|λόον· το̄ν δὲ πρόθθα μὲ ἐν||δικον ἔμε̄ν. — Αἰ δέ κ' ὁ ἀντίμ|ōλος ἀπομōλε̄ι ἀνπὶ τὸ κρ|έος ὄι κ' ἀνπιμōλίōντι μ|ὲ ἔμε̄ν τᾶς ματ[ρ]ὸς ἒ τᾶ|ς γυναικός, μōλε̄ν ὀπε̄ κ' ἐπ||ιβάλλε̄ι, πὰρ το̄ι δικαστᾶι | ἒ Ϝεκάστō ἔγρατται. — Αἰ δέ κ'ἀ|ποθάνε̄ι μάτε̄ρ τέκνα καταλιπό|νσα, τὸν πατέρα καρτερὸν ἔμε̄ν | το̄ν ματρόιōν, ἀποδό(θ)θαι δὲ μὲ || με̄δὲ καταθέμε̄ν, αἴ κα μὲ τά τέκ|να ἐπαινέσει δρομέες ἰόντες. — | [Α]ὶ δέ τις ἀλλᾶι πρίαιτο ἒ κατά|θειτο, τὰ μὲν κρέματα ἐπὶ τοῖ|ς τέκνοις ἔμε̄ν, το̄ι δὲ πριαμ||ένōι ἒ καταθεμένōι τὸν ἀποδ|όμενον ἒ τὸν

V 43 recepi supplementa Comp., sed propter (τὸν) ipse dubito num iure VI 23 ἀτασεῖ Fabr. Blass

καταθέντα τὰν | διπλειαν καταστάσαι τᾶς τ|ιμᾶς, καἴ τί κ' ἄλλ' ἄτας ἒ̄ι, τὸ ἀ|πλόον. Αἰ δέ κ' ἄλλαν ὀπυίε̄ι, τὰ τ||έκνα [το̄]ν [μ]ατρόιο̄ν καρτερὸν|ς ἔ̄με̄ν. —

Αἴ κ' ἐδ δυσ[μενίανς] πε|ρα[θε̄ι κ]έκς ἀλλοπολίας ὐπ' ἀν|άνκας ἐκόμενος κελο[μ]ένο̄ τι|ς λύσεται, ἐπὶ το̄ι ἀλλυσαμέν||ο̄ι ἔ̄με̄ν, πρίν κ' ἀποδο̄ι τὸ ἐπιβά|λλον. Αἰ δέ κα μὲ ὀμολογίο̄ντ|ι ἀμπὶ τὰν πλε̄θὺν ἒ̄ μὲ [κ]ελομέ|[ν]ο̄ αὐτο̄ [λ]ύσαθθαι, τὸν δικασ|τὰν ὀμνύντα κρίνεν πορτὶ τὰ || μο̄λιόμενα. [Τ]ο̄ ἐλευθέρο̄ τὸν | δε . . . . ||| ἐπὶ
VII
τὰν ἐλευθέραν ἐλθὸν ὀπυίε̄ι | ἐλεύθερ' ἔ̄με̄ν τὰ τέκνα, — αἰ δέ κ' | ἀ ἐλευθέρα ἐπὶ τὸν δο̄λον, δο̄λ' ἔ̄μ|ε̄ν τὰ τέκνα. — Αἰ δέ κ' ἐς τᾶς αὐτ||ᾶς ματρὸς ἐλεύθερα καὶ δο̄λα | τέκνα γένε̄ται, ἒ̄ κ' ἀποθάνε̄ι ἀ | μάτε̄ρ, αἴ κ' ἒ̄ι κρέματα, τὸνς ἐλε|υθέρονς ἔκεν. Αἰ δ' ἐλευθέροι | μὲ ἐκσεῖεν, τὸνσς ἐπιβάλλον||τανς ἀναιλέ(θ)θαι. — Α[ἴ] κ' ἐκς ἀγ|ορᾶς πρ[ι]άμενος δο̄λον μὲ π|εραιόσει τᾶν Fεκσέκοντ' ἀμ|ερᾶν, αἴ τινά κα πρό(θ)θ' ἀδικέ|κε̄ι ἒ ὔστερον, το̄ι πεπαμέν||ο̄ι ἔνδικον ἔ̄με̄ν. —

Τὰμ πα|[τ]ρο̄ι[ο̄]κον ὀπυίε(θ)θαι ἀδελπι|ο̄ι το̄ πατρὸς το̄ν ἰόντο̄ν το̄ι | πρειγ[ί]στο̄ι. Αἰ δέ κα πλίες πατ|ρο̄ιόκοι ἴο̄ντι κἀδελπι[ο]ὶ το̄ πα||τρός, [τ]ο̄ι ἐπιπρειγίστο̄ι ὀπυί|ε(θ)θαι. Αἰ δέ κα μὲ ἴο̄ντι ἀδελπιο|ὶ το̄ πατρός, υἰέεδ δὲ ἐκς ἀδελ|πιο̄ν, ὀπυίε(θ)θαι ἰο̄ι το̄ι [ἐ]ς το̄ π|ρειγίστο̄. Αἰ δέ κα πλίες ἴο̄ντ||ι πατρο̄ιόκοι κυἰέες ἐκς ἀδε|λπιο̄ν, ἄλλο̄ι ὀπυίε(θ)θαι το̄ι ἐπ|ὶ το̄ι ἐς [τ]ο̄ πρει[γί]στο̄. Μίαν δ' | ἔκεν πατρο̄ι[ο̄]κον τὸν ἐπιβάλ|λοντα,

---

VI 45 *καρτερὸν|ν* lap. 46 secutus sum Dar.-Hauss.-Rein. *ἐδ δυσ[μενίο̄ν] περά[σε̄ι]* Buech.-Zit. *ἐδ δυσ[μενίανς] περα[ιο̄θε̄ι]* Baun. *ἐδδυσ . . . . πε̄ρα[τὰς]* Comp. 48 *κἐλομένο̄* Buech.-Zit. Baun. 52 *ἐλομένο̄* Buech.-Zit. Baun. VII 12 *Εεκσέκοντ* lap.

πλίαδ δὲ [μ]έ. — Ἆδ δέ κ' ἄν||ο̄ρος ε̄̂ι ὁ ἐπιβάλλον ὀπυίεν ε̄̈ | ἁ πατρο̄ιο̄̂κος, [σ]τέγαν μέν, αἴ | κ' ε̄̂ι, ἔκεν τὰν πατρο̄ιο̄̂κον, τᾶδ | δ' ἐπικαρπίας παντὸς τὰν ἐμ|ίναν ἀπολανκάνεν τὸν ἐπιβ||άλλοντα ὀπυίεν. — Αἰ δέ κ' ἀπό-|δρομος ἰὸν ὁ ἐπιβάλλο̄ν ὀπυ|ίεν ἐβίο̄ν ἐβίονσαν μὲ λε̄̂ι ὀπ|υίεν, ἐπὶ τᾶι πατρο̄ιόκο̄ι ἔμε̄|ν τὰ κρέματα πάντα καὶ τὸν κ||αρπόν, πρείν κ' ὀπυίε̄ι. — Αἰ δέ κα | δρομεὺς ἰὸν ὁ ἐπιβάλλο̄ν ἐ|βίονσαν λείονσαν ὀπυίε|(θ)θαι μὲ λε̄̂ι ὀπυίεν, μο̄λε̄̂ν τὸς |.καδεστὰνς τὸς τᾶς πατρο̄ι||όκο̄, ὁ δὲ [δ]ικα[σ]τ[ὰς] δικ[αδδέ]|το̄ ὀπυίεν ἐν τοῖς δ[υ]οῖς με̄|νσί. Αἰ δέ κα μὲ ὀπυίε̄ι ἆι ἔγρα|(τ)ται, τὰ κρέματα πάντ' ἔκονσα|ν, αἴ κ' ε̄̂ι ἄλλος, το̄̂ι ἐπιβάλλοντ||ι· — αἰ δ' ἐπιβάλλο̄ν μὲ εἴε̄, τᾶς | πυλᾶς το̄̂ν αἰτιόντο̄ν ὄτιμ|ί κα λε̄̂ι ὀπυίε(θ)θαι. — Αἰ δέ κα το̄̂|ι ἐπιβάλλοντι ἐβίονσα μὲ λε̄̂|ι ὀπυίε(θ)θαι ε̄̈ ἄνο̄ρος ε̄̂ι ὁ ἐπιβ||άλ[λ]ο̄ν . . ιμ . . ε . . . VIII εν ||| ἁ πατρο̄ιο̄̂κος, στέγαμ μέν, | αἴ κ' ε̄̂ι ἐν πόλι, τὰμ πατρο̄ιο̄̂κο|ν ἔκεν κἄτι κ' ἐνε̄̂ι ἐν τᾶι στέγ|αι, το̄̂ν δ' ἄλλο̄ν τὰν ἐμίναν δ||ιαλακόνσαν ἄλλο̄ι ὀπυίε(θ)θ|αι τᾶς πυλᾶς το̄̂ν αἰτιόντο̄ν | ὄτιμί κα λε̄̂ι. — Ἀποδατέ(θ)θαι δ|ὲ το̄̂ν κρε̄μάτο̄ν ἰο̄̂ι. — Αἰ δὲ μὲ | εἶεν ἐπιβάλλοντες τᾶι ⟨παι⟩ π||ατρο̄ιόκο̄ι ἆ[ι ἔ]γρατται, τὰ κρ|έματα πάντ' ἔκ[ον]σαν τᾶς πυ|λᾶς ὀπυίε(θ)θ[α]ι ὄτιμί κα λε̄̂ι. | — Αἰ δὲ τᾶς πυλ[ᾶ]ς μέτις λε|ίοι ὀ[π]υίεν, τὸς καδεστὰνς || τὸς τᾶς πατρο̄ιόκο̄ ϝείπαι κ|ατὰ [τὰν πυλ]ὰν ὄτι οὐ [λε̄̂ι ὀ]πυ|ίεν τις; καὶ μέν τίς [κ' ὀ]πυίε̄ι, ἐ|ν ταῖς τριάκοντα ε̄̈ κα ϝείπον|τι· αἰ δὲ μ(έ), ἄλλο̄ι ὀπυίε(θ)θαι ὄτι|μί κα νύναται. — Αἰ δέ κα πατρὸ|ς δόντος ε̄̈ ἀδελπιο̄̂ πατρο̄ιο̄̂|κος

VII 55 [*κα*]*ὶ* *μ*[*ὲ* *λε̄ι* *μέν*]*εν* Buech.-Zit. Baun. [*ὀρ*]*ίμ*[*α*] *ὀ* *ἔ*[*νυσ*]*εν* Comp. dubitanter, quod non intellego; optime quadraret Buecheleri lectio, nisi Comp. affirmaret in lapide ante *ε* primum certissimum vestigium *ο* exstare; equidem in ectypo nihil dispicio. VIII 4 *ἐμίσαν* lap.

γένε̄ται, αἰ λείοντος ὀπ|υίεν ὄ̄ι ἔδο̄καν μὲ λείοι ὀπυ|ίε(θ)αι, αἴ κ' ἐστετέκνο̄ται, δια‖λακόνσαν το̄̂ν κρε̄μάτο̄ν ἆι ἔ|γρατται [ἄλλ]ο̄ι ὀπυίε(θ)θ[αι τᾶ]ς [π]|υ[λ]ᾶ[ς]. — Αἰ δὲ τέκνα μὲ εἴε̄, πάντ' | ἔκονσαν το̄̂ι ἐπιβάλλον[τ]ι ὀπυ|ίε(θ)θαι, αἴ κ' ε̄̂ι, αἰ δὲ μέ, ἆι ἔγραττ‖αι. 'Ανὲρ αἰ ἀποθάνοι πατρο̄ι|όκο̄ι τέκνα καταλιπόν, αἴ κα [λ]ε̄̂ι, | ὀπυιέ(θ)θο̄ τᾶς πυλᾶς ὅτιμί κα ν|ύναται, ἀνάνκαι δὲ μέ. Αἰ δὲ τέ|κνα μὲ καταλίποι ὁ ἀποθανόν, ‖ ὀπυίε(θ)θαι το̄̂ι ἐπιβάλλοντι ἆ|ι ἔγρατται. — Αἰ δ' ὁ ἐπιβάλλο̄ν τ|ὰν πατρο̄ιο̄̂κον ὀπυίεν μὲ ἐπ|ίδαμος εἴε̄, ἀ δὲ πατρο̄ιο̄̂κος | ὠρίμα εἴε̄, το̄̂ι ἐπιβάλλοντι ὀ‖πυίε(θ)θαι ἆι ἔγρατται. — Πατρο̄ιο̄̂|κον δ' ἔ̄μεν, αἴ κα πατὲρ μὲ ε̄̂ι ἒ ἀ|δελπιὸς ἐς το̄̂ αὐ[το̄̂] πατρός. Το̄̂ν | δὲ κρε̄μάτο̄[ν κα]ρτερὸνς ἔ̄με̄ν τ|ᾶς Ϝεργα[σ]ία[ς τὸς] πάτρο̄ανς, ‖ [τ]ᾶς [δ' ἐπικαρ]πίας δια[λ]α[νκά]ν|εν [τ]ὰν ἐμίναν, ἆς κ' ἄ[ν]ο̄ρ[ο]ς ε̄̂ι. — Αἰ δ' ἀν[ό]ρο̄ι ἰάτται μὲ εἴε̄ ἐπ|ιβάλλο̄ν, τὰν πατρο̄ιο̄̂κον καρ|τερὰν ἔ̄με̄ν το̄̂ν τε κρε̄μάτο̄ν κ‖αὶ το̄̂ καρπο̄̂, κᾶς κ' ἄν[ο̄]ρος ε̄̂ι, τ|ράπε(θ)θαι [π]ὰρ τᾶι ματρί· αἰ δὲ μ|άτε̄ρ μὲ εἴε̄, πὰρ τοῖς [μ]άτρο̄σι τράπε(θ)θα[ι]. — Αἰ δέ τις ὀπυίοι τὰ|ν πατρο̄ιο̄̂κον, ἀλλᾶι δ' [ἔγ]ρατται, ‖ πεύθεν [ἀν]τὶ κόσμ[ο̄]ν |‖ τὸνς ἐπιβά[λλοντανς. — 'Ανὲρ αἴ | IX

κ' ἀποθανὸν πα]τρο̄ιο̄̂κον κα|ταλίπε̄ι, ἒ αὐ[τὰν ἒ πρὸ αὐτᾶς τ|ὸνς πάτρο̄ανς ἒ τὸ]νς μάτρο̄αν‖ς καταθέμε̄ν [ἒ ἀποδό(θ)θαι το̄̂ν | κρε̄μάτο̄ν καὶ] δικαίαν ἔ̄με̄ν τ|ὰν ὀνὰν καὶ τὰν κα[τάθεσιν. Αἰ | δ' ἀλλᾶι πρί]αιτό τις κρέματα ἒ | κατάθειτο το̄̂ν τᾶς πα[τρο̄ιόκο̄, τ]‖ὰ [μ]ὲν [κρ]έματα ἐπὶ τᾶι πατρο̄ιόκ|ο̄ι ἔ̄με̄ν, ὁ δ' ἀποδόμενος ἒ κατ|αθὲνς το̄̂ι πριαμένο̄ι ἒ καταθε|μένο̄ι, αἴ κα νικαθε̄̂ι, διπλεῖ κα|τασταςεῖ καἴ τί κ' ἄλλ' ἄτας ε̄̂ι, τ‖ὸ ἀπλόον ἐπικατα-

VIII 41 *ἆι* Comp. Blass IX 1 sqq. Supplementa varia possunt excogitari et sunt excogitata; exempli gratia dedi lectionem Comp.

στασεῖ — ἆ|ι [τά]δε τὰ γ[ράμμ]ατ[α ἔγραται, τ]|ο͂[ν δ]ὲ πρό(θ)θα μ[ὲ] ἔνδικον ἔ̄μεν. — Αἰ δ' ὁ ἀντίμο̄λος ἀπομ[ο̄λ]ίο|ι ἀ[νπ]ὶ τὸ κρέος ὅ̄ι κ' ἀνπιμο̄λί||ο̄ντι μὲ̄ τᾶς πατρο̄ιόκο̄ [ἔ̄μ]ε̄ν, | ὁ δ[ικ]αστὰς ὀμνὺς κρινέτο̄· αἰ | δὲ νικάσαι μὲ̄ τᾶς πατρ[ο̄ι]όκ|ο̄ ἔ̄μ[ε̄]ν, μο̄λε̄ν ὀπε͂ κ' ἐπιβάλλε̄ι, ἔ̄ | Ϝεκάστο̄ ἔγραται. — Αἰ ἀν[δ]εκσ||άμ[ε]νος ἒ νενικαμένο[ς ἒ ἐνκ]|οιο̄τὰνς ὀπέλο̄ν ἒ διαβαλόμε|νος ἒ διαϜειπάμενος ἀπο[θ]ά|νοι ἒ τούτο̄ι ἄλλος, ἐπιμο̄λ|ε͂ν αιο πρὸ το͂ ἐνιαυτο͂· ὁ δὲ δικα||στὰς δικαδδέτο̄ πορτὶ τὰ [ἀ]ποπ|ο̄νιόμενα· αἰ μέν κα νίκας ἐπι|μο̄λε͂ι, ὁ δικαστὰς κὀ̄ μνάμο̄ν, | αἴ κα δόε̄ι καὶ πολιατεύε̄ι, οἱ δὲ μ|αίτυρες οἱ ἐπιβάλλοντες, ἀνδοκ||ᾶδ (δ)ὲ κἔνκοιο̄τᾶν καὶ διαβολᾶς κ|αὶ διρέσιος μαίτυρες οἱ ἐπιβ|άλλοντες ἀποπο̄νιόντο̄ν. Ἐ̓ δέ κ' ἀ|ποϜείποντι, δικαδδέτο̄ ὀμόσ|αντα αὐτὸν καὶ τὸνς μαίτυρ||ανς νικε͂ν τὸ ἀπλόον. — Υἱὺς α|ἴ κ' ἀνδέκσεται, ἇς κ' ὁ πατὲ̄(δ) δόε̄ι, | αὐτὸν ἀτέ(θ)θαι καὶ τὰ κρέματα | ἅτι κα πέπαται. — Αἴ τίς κα πέρα|ι συναλ[λάκ]σει ἒ ἐς πέρ[α]ν ἐπι||θέντι μὲ̄ ἀποδιδο͂ι, αἰ μέν κ' ἀ|ποπο̄νίο̄ντι μαίτυρες ἐ̓βίοντ|ες το͂ ἑκατονστατέρο̄ καὶ πλίο|νος τρέες, το͂ μείονος μέττ' ἐ|ς τὸ δεκαστάτε̄ρον δύο, το͂ μεί||ονος ἔνδ, δικαδδέτο̄ πορ[τ]ὶ τὰ | ἀποπο̄[ν]ιόμενα. Αἰ δὲ μαίτυρε|[ς] μὲ̄ ἀποπο̄νίοιεν ἔ̄ κ' ἔ[λ]θε̄ι ὁ συ|ναλλάκσανς, ὀτερόν κ[α] κέλε̄[τ]αι ὁ | μενπόμενος, ἒ ἀπομόσαι ἒ συν|||

IX 29 aut *γιο*; *ἐπιμο̄λε͂νν ἰο͂* Comp., quod non intellego, *αἰ ὅ̄* Blass. 38 *ὀμοσαστα* lap. *ὀμόσας τὰ αὐτο͂ν* Baun. 42 *ἀλέ̄θαι* Comp. ex apographo Halbh., ut iam antea Fabr., *ἄγεθαι* Buech.-Zit. Baun.; cum *ἀλέ̄θαι* nihil sit, cum Blassio *ἀτέ̄θαι* scripsi, quod legi posse ectypus demonstrare videtur. 43 sq. *πέ̄ραι* … *πε͂ρ[α]ν* Comp. Dar.-Hauss.-Rein. 50 *ἕνα* lap., quod receperunt Buech.-Zit. *ἕν<ς>* Comp. Baun. Dar.-Hauss.-Rein. Blass 52 *ἐ[πι]θε͂ι* Buech.-Zit., sed spatium duabus litteris sufficere non videtur.

desunt novem versus et decimi apparet tantummodo X
ultima littera ν | κρέος................|..........
...... α]ποδόν|τανς το ....|..........
..... ματρὶ ‖ δ' υἱὺν [ε̄ ἄνδρα γυναικὶ δόμε̄ν ἐ]|κατὸν
στα[τ]έρα[νς] ε̄ μεῖον, π λίον δὲ μέ. Αἰ δὲ πλία δοίε̄,
αἴ | κα λείο̄ντ' οἱ ἐπιβάλλοντες, τ|ὸν ἄργυρον ἀποδόντες
τὰ κρ‖έματ' ἐκόντο̄ν. — Αἰ δέ τις ὀπέ|λο̄ν ἄργυρον ε̄
ἀταμένος ε̄ μ|ο̄λιομένας δίκας δοίε̄, αἰ | μὲ εἴε̄ τὰ λοιπὰ
ἄκσια τᾶς ἄ|τας, με̄δὲν ἐς κρέος ἔμε̄ν τὰν ‖ δόσιν. —
Ἄντρο̄[π]ον μὲ ὀνέ(θ)θα|[ι] κατακείμενον, πρίν κ' ἀλλύ-
σ|εται ὁ καταθένς, με̄δ' ἀμπίμο̄|λον, με̄δὲ δέκσα(θ)θαι
με̄δ' ἐπισ|πένσα(θ)θαι με̄δὲ καταθέ(θ)θαι. Αἰ ‖ δέ τις
τουτο̄ν τι Ϝέρκσαι, με̄δ|ὲν ἐς κρέος ἔμε̄ν, αἰ ἀποπο̄νίο|ιεν
δύο μαίτυρες. — |

Ἄνπανσιν ἔμε̄ν ὀπο̄ κά τιλ λ|ε̄ι. Ἀμπαίνε(θ)θαι δὲ
κατ' ἀγορὰν ‖ καταϜελμένο̄ν το̄μ πολιατᾶ|ν ἀπὸ το̄ λάο̄
ὁ̄ ἀπαγορεύοντι. — | Ὁ δ' ἀμπανάμενος δότο̄ τᾶ|ι ἑται-
ρέιαι τᾶι Ϝᾶι αὐτο̄ ἰαρε̄|ιον καὶ πρόκοον Ϝοίνο̄. — Καὶ ‖
μέν κ' ἀνέλε̄ται πάντα τὰ κρέ|ματα καὶ μὲ συννε̄ι γνέ-
σια τ|έκνα, τέλλεμ μὲν τὰ θῖνα καὶ | τὰ ἀντρόπινα τὰ
το̄ ἀνπαναμέ|νο̄ κἀναιλέ(θ)θαι, ἆιπερ τοῖς γ|νε̄σίοις
ἔγρατται. Αἰ [δ]έ κα μὲ | λε̄ι τέλλεν ἆι ἔγρατται, τὰ
κ[ρ]έματα τὸνς ἐπιβάλλοντανς ἔκε|ν. Αἰ δέ κ' ε̄ι γνή-
σ[ι]α τέκνα το̄ι ἀν|παναμένο̄ι, πεδὰ μὲν το̄ν ἐρσ|ένο̄ν
τὸν ἀμπαντόν, ἆιπερ αἱ θ|ε̄[λε]ίαι ἀπὸ το̄ν ἀδελπιο̄ν
λανκά|νοντι· αἰ δέ κ' ἔρσενες μὲ ἴο̄ν|τι, θε̄λείαι δέ,
[Ϝ]ισϜόμοιρον ἔ‖|[με̄ν] τὸν ἀνπαντὸν καὶ μὲ ἐ|πάνανκον XI
ε̄με̄ν τέλλεν τ[ὰ τ|ο̄ ἀν]παναμένο̄ καὶ τὰ κρέμα|τ' ἀναι-
λί(θ)θαι ἄτι κα κατα[λίπε̄‖ι ὁ ἀν]πανάμενος· πλίυι δὲ

X 26 *ἀρτύσεται* Buech.-Zit. 32 *μαίτυρεν* lap.

τὸν | ἀνπαντὸμ μὲ ἐπικο̄ρε̄ν. [— Αἰ δ' | ἀπο]θάνοι ὁ ἀνπαντὸς γνέσια | τέκνα μὲ καταλιπόν, πὰρ τὸ[νς τ|ο̄ ἀν]παναμένο̄ ἐπιβάλλονταν||ς ἀνκο̄ρε̄ν τὰ κρέματα. Αἰ δ[έ κα | λε̄ι] ὁ ἀνπανάμενος, ἀποϜειπ|άθθο̄ κατ' ἀγορὰν ἀπὸ το̄ λά[ο̄ ὀ̄ | ἀπα]γορευόντι καταϜελμέν|ο̄ν το̄ν πολιατᾶν, ἀνθέμε̄[ν δὲ || δέκ]α [σ]τατέρανς ἐδ δικαστ|έριον, ὁ δὲ μνάμο̄ν ὁ το̄ κσε̄νίο̄ ἀποδότο̄ το̄ι ἀπορρε̄θέντι. | Γυνὰ δὲ μὲ ἀμπαινέθθο̄ με̄δ' | ἄνε̄βος. — Κρέ(θ)θαι δὲ τοῖδδε ἆ||ι τάδε τὰ γράμματ' ἔγραπσε, | το̄ν δὲ πρόθθα ὀπᾶι τις ἔκει ἒ ἀ|μπαντυῖ ἒ πὰρ ἀμπαντο̄ μὲ ἔτ' ἔ|νδικον ἔμε̄ν. — |

Ἄντρο̄πον ὅς κ' ἄγε̄ι πρὸ δίκας, || αἰεὶ ἐπιδέκε(θ)θαι. — |

Τὸν δικαστάν, ὅτι μὲν κατὰ | μαίτυρανς ἔγρατται δικάδδ|εν ἒ ἀπόμοτον, δικάδδεν ἆι ἔ|γρατται, το̄ν δ' ἀλλο̄ν ὀμνύντ||α κρίνεν πορτὶ τὰ μο̄λιόμεν|α. — Αἴ κ' ἀποθάνε̄ι ἄργυρον | ὀπέλο̄ν ἒ νενικαμένος, αἰ μέ|ν κα λείο̄ντι, οἷς κ' ἐπιβάλλε̄ι | ἀναιλέ(θ)θαι τὰ κρέματα, τὰν ἆ||ταν ὑπερκατιστάμε̄ν καὶ τὸ | ἀργύριον οἷς κ' ὀπέλε̄ι, ἐκόντ|ο̄ν τὰ κρέματα· αἰ δέ κα μὲ λεί|ο̄ντι, τὰ μὲν κρέματα ἐπὶ τοῖ|ς νικάσανσι ἔμε̄ν ἒ οἷς κ' ὀ||πέλε̄ι τὸ ἀργύριον, ἄλλαν δὲ | με̄δεμίαν ἆταν ἔμε̄ν τοῖ|ς ἐπιβάλλονσι. Ἀ[τ]έ(θ)θαι δὲ ὐ|πὲρ μ[ὲ]ν το̄ [πα]τρὸς τὰ πατρο̄|ια, ὐπὲδ (δ)ὲ τᾶς ματρὸς τὰ μα||τρο̄ια. — |

Γυνὰ ἀνδρὸς ἄ κα κρίνε̄ται, | ὁ δικαστὰς ὅρκον αἴ κα δικάκ|σει, ἐν ταῖς Ϝίκατι ἀμέραις ἀ|πομοσάτο̄ παριόντος το̄ δικα||στᾶ ὅτι κ' ἐπικαλε̄ι. ΠροϜ[ε]ιπάτ|ο̄ δὲ ὁ

XI 16 *πρὸ κσενίο̄* Buech.-Zit. Baun. 42 *ἄ[γ]εθαι* Buech.-Zit. Baun. *ἀ[λ]έθαι* Comp. Dar.-Hauss.-Rein. 50 sq. *δὲ ὁ* Comp. ex apographo Halbh., ipse in ectypo nihil dignosco; *ὅτι κ' ἐπικαλε̄ι, προϜ[ε]ιπάτο̄ [τὸ ὑπ]άρκον* Buech.-Zit. *[δ' ὁ ὑπ]άρκο̄ν* Baun.

ἄρκōν τᾶδ (δ)ίκας τᾶι γυνα|ικὶ καὶ τȭι δικαστᾶι καὶ
[τ]ȭι | μ[νά]μονι προτέταρτον ἀντὶ μ|||[αιτύρōν .... de- XII
sunt sedecim versus.] Ματρὶ υἰὺ⟨ι⟩ς ἒ ἀ[ν]ὲρ γυναικὶ |
κρέματα αἰ ἔδōκε, ἆι ἔγρατ|το πρὸ τȭνδε τȭν γραμμάτōν, || μὲ ἔνδικον ἔμēν· τὸ δ' ὕστε|ρον διδόμēν ἆι ἔγρατται. — |

Ταῖς πατρōιόκοις αἴ κα μὲ | ἴōντι ὀρπανοδικασταί, ἆ|ς κ' ἀνόροι ἴōντι, κρέ(θ)θαι κατὰ || τὰ ἐγραμμένα. — Ὀπε . . δέ κ' ἀ| πατρ[ōι]ȭκος μὲ ἰόντος ἐπι|βάλλοντος μēδ' ὀρπανοδικ|αστᾶν πὰρ τᾶι ματρὶ τράπē|ται, τὸν πάτρōα καὶ τὸμ μάτ||ρōα τὸνς ἐγραμμένονς τ|ὰ κρέματα καὶ τὰν ἐπικαρπί|αν ἀρτύεν ὀπᾶι κα (νύ)νανται κά|λλιστα, πρίν κ' ὀπυίēται. Ὀπυί|ε(θ)θαι δὲ δυōδεκαϝετία ἒ πρεί||γονα.

XII 24 ὄπη[ι] *δέ κα* Fabr. *ὀπē δέ κ' ἀ* Baun. *ὀπē̃ . . (.) δέ κα* Blaß ὄπε[δ] *δέ κ' ἀ* Comp.

31. Iusiurandum ephebórum Dreriorum.

Lapis inscriptus a quattuor lateribus, repertus in ruderibus veteris Dreriorum oppidi.

Paulo ante a. 220 aut saec. II. Litteratura volgaris. — Rangabé Ant. hell. II n. 2477. Dethier Stzber. d. Wien. Akad. 30, 431 sqq. Halbherr Mus. ital. di ant. class. 3, 657 sqq. — C. F. Hermann Philol. 9, 694 sqq. Vischer Kl. Schr. 2, 104 sqq. Cauer[2] 121. Danielsson Epigraphica (Upsala Univ. Årsskr. 1890) 1 sqq. Haussoullier Rev. de phil. 18, 167 sqq. Dittenberger Syll.[2] 463. Blass Coll.-Becht. 4952. P. Deiters De Cretensium titulis publicis quaestiones epigraphicae (Diss. Bonn. 1904) Sent. IX.

A Θεός Ξ Τύχα. | Ἀγαθᾶι τύχαι. | Ἐπὶ τῶν Αἰθαλέ|ων κοσμιόντων || τῶν σὺγ Κυίαι καὶ | Κεφάλωι Πυρωι||πίωι Βισίωνος, | γραμματέος | δὲ Φιλίππου, || τάδε ὤμοσαν | ἀγελάοι παν|άζωστοι ἑκα|τὸν ὀγδοή|κοντα· Ὀμνύω || τὰν Ἑστίαν τὰν | ἐμ πρυτανείωι | καὶ τὸν Δῆνα τὸν | Ἀγοραῖον καὶ τὸν Δῆ|να τὸν Ταλλαῖον || καὶ τὸν Ἀπέλλωνα | τὸν

Δελφίνιον καὶ | τὰν Ἀθαναίαν τὰν | Πολιοῦχον καὶ τὸν | Ἀπέλλωνα τὸν Ποίτιον || καὶ τὰν Λατοῦν καὶ τὰν | Ἄρτεμιν καὶ τὸν Ἄρεα | καὶ τὰν Ἀφορδίταν καὶ | τὸν Ἑρμᾶν καὶ τὸν Ἅλιον | καὶ τὰν Βριτόμαρτιν || καὶ τὸμ Φοίνικα καὶ τὰν | Ἀμφι[ώ]ναν καὶ τὰγ Γᾶν | καὶ τὸν Οὐρανὸν καὶ | ἥρωας καὶ ἡρωάσσας | καὶ κράνας καὶ ποτα||μοὺς καὶ θεοὺς πάντας | καὶ πάσας· μὴ μὰν ἐγώ | ποκα τοῖς Λυττίοις | καλῶς φρονησεῖν | μήτε τέχναι μήτε μα||χανᾶι μήτε ἐν νυκτὶ | μήτε πεδ' ἁμέραν. Καὶ | σπευσίω ὅτι κα δύναμαι | κακὸν τᾶι πόλει τᾶι τῶν

B Λυττίων. ||| Δικᾶν δὲ καὶ πρ[αξί]|ων μηθὲν ἔνορκον | ἥμην. Καὶ τέλομαι | φιλοδρήριος καὶ | φιλοκνώσιος | καὶ μήτε τὰμ πό||λιν προδωσεῖν | τὰν τῶν Δρηρίων | μήτε οὐρεῖα τὰ | τῶν Δρηρίων | μηδὲ τὰ τῶγ Κν[ω]-||σίων, μηδὲ ἄν|δρας τοῖς πο|λεμίοις προδω|σεῖν μήτε Δρη|ρίους μήτε Κνω||σίους, μηδὲ στά|σιος ἀρξεῖν καὶ | τῶι στασίζοντι | ἀντίος τέλομαι, | μηδὲ συνωμοσί||ας συναξεῖν | μήτε ἐμ πόλει | μήτε ἔξοι τᾶς | πόλεως μήτε | ἄλλωι συντέλε||σθαι· εἰ δέ τινάς | κα πύθωμαι συ|νομνύοντας, | ἐξαγγελίω τοῦ | κόσμου τοῖς πλί||ασιν. Εἰ δὲ τάδε | μὴ κατέχοιμι, | τούς τέ μοι θεούς, | τοὺς ὤμοσα, ἐμ|μάνιας ἤμηιν || πάντας τε καὶ πά|σας, καὶ κακίστω | ὀλέθρωι ἐξόλλυ|σθαι αὐτός τε | καὶ χρήϊα τἀμά, || καὶ

C μήτε μοι γᾶν | καρπὸν φέρειν ||| [μήτε μοι γ]υναῖκας | [τίκτει]ν κατὰ φύ|[σιν μήτ]ε πάματα· || [εὐορκί]οντι δέ μοι | [τοὺς] θεούς, τοὺς | [ὤμοσα,] ἱλέους ἦμεν | [καὶ πολ]λὰ κἀγαθὰ | δι[δό]μ[ε]ν. Ὀμνύω δὲ || τὸς αὐτὸς θεούς· | ἦ μὰν ἐγὼ τὸγ κόσ|μον, αἴ κα μὴ ἐξορ|κίξοντι

29 *Βριτόμαρπιν*? 77 *Γε* lap., em. Blass 77 sqq. cf. tit. Cretici Amer. journ. of archaeol. II ser. 5 (1901), 398 vs. 11 sqq. *ἔμ(μ)ανιν ἤμεν αὐτοὶ τὰν Ἀθαναίαν* 89 [*μήτ*]*ε πάματα* Wilhelm Arch.-epigr. Mitt. 20, 91 [*πάντα*] *ἐπ' ἄματα* Dittenberger

τὰν ἀγέ|λαν τοὺς τόκα ἐ||γδυομένους τὸν | αὐτὸν ὅρκον, τόν|περ ἁμὲς ὀμωμό|καμες, ἐμβαλεῖν ἐς τὰν βωλάν, ἅι || κα ἀποστᾶντι | τοῦ μηνὸς τοῦ Κο|μνοκαρίου ἢ τοῦ | Ἀλιαίου· ἁ δὲ β[ω]λὰ | πραξάντων ἕκα||στον τὸν κοσμί|οντα στατῆρας | πεντακοσίους | ἀφ' ἅς κα ἐμβάλῃι || ἁμέρας ἐν τριμήνωι· || αἰ δὲ λισσὸς εἴηι, | ἀγγραψάντων | ἐς Δελφίνιον, | ὅσσα κα μὴ πρά|ξοντι χρήματα, || τοὔνομα ἐπὶ πατρὸς | καὶ τὸ πλῆθος τοῦ ἀρ|γυρίου ἐξονομαίνοντες· ὅτι δέ κα πράξον|τι, ταῖς ἑταιρείαισιν || δασσάσθωσαν ταῖς | ἐμ πόλει καὶ αἵ πεί | τινεν οὐρεύωντι Δρήριοι. ||| Αἰ δὲ μὴ πρά[ξαι]|εν ἁ βωλά, αὐ[τοὶ] || D τὰ διπλόα ἀ[ποτει]|σάντων· πρα[ξάν]|των δὲ οἱ ἐρευταὶ | οἱ τῶν ἀνθρωπίνων | καὶ δασσάσθωσαν || ταῖς ἑταιρείαισιν | κατὰ ταὐτά. |

Τάδε ὑπομνάμα|τα τᾶς Δρηρίας χώρας | τᾶς ἀρχαίας τοῖς || ἐπιγινομένοις ἀζώ|στοις. Τόν τε ὅρ|κον ὀμνύμεν | καὶ κατέχειν. | Καὶ οἱ Μιλάτιοι || ἐπεβώλευσαν | ἐν τᾶι νέαι νε|μονηῖαι τᾶι πό|λει τᾶι τῶν Δρη|ρίων ἕνεκα τᾶς || χώρας τᾶς ἁ|μᾶς, τᾶς ἀμφι|μαχόμεθα. | Νικατὴρ | τᾶς ἀγέλας | . . . . || Καὶ ἐλαίαν ἕ|καστον φυτεύ|ειν καὶ τεθραμ|μέναν ἀποδεῖ|ξαι· ὃς δέ κα μὴ || [φ]υτεύσει, ἀπ|[ο]τεισεῖ στα|τῆρας πεν|τήκοντα.

118 *πράξοντι* Dethier *πράξωντι* Halbherr

Dialectus Rhodia.

32. Decretum Camirensium.

Lapis effossus Camiri, nunc in museo Britannico.

Saec. IV aut III. Litteratura volgaris. — Newton Transact. of the R. Society of Literat. 11, 435 sqq. Greek inscr. in the Brit. mus. II 351. Hiller v. Gaertringen IG. XII 1, 694. — Martha Bull. corr. hell. 4, 143 sqq. Cauer[2] 176. van Gelder Coll.-Becht. 4118. Dittenberger Syll.[2] 449.

Ἔδοξε Καμιρεῦσι τὰς κτοίνας τὰς Καμιρέων τὰς | ἐν τᾶι νάσωι καὶ τὰς ἐν τᾶι ἀπείρωι ἀναγράψαι πάσας | καὶ ἐχθέμειν ἐς τὸ ἱερὸν τᾶς Ἀθαναίας ἐστάλαι | λιθίναι χωρὶς Χαλκῆς· ἐξήμειν δὲ καὶ Χαλκήταις || ἀναγραφήμειν, αἴ κα χρήιζωντι. Ἑλέσθαι δὲ ἄνδρας | τρεῖς αὐτίκα μάλα, οἵτινες ἐπιμεληθησεῦντι ταύ|τας τᾶς πράξιος ὡς τάχιστα καὶ ἀποδωσεύνται | τῶι χρήιζοντι ἐλαχίστου παρασχεῖν τὰν στάλαν | καὶ τὰς κτοίνας ἀναγράψαι καὶ ἐγκολάψαι ἐν τᾶι στά||λαι καὶ στάσαι ἐν τῶι ἱερῶι τᾶς Ἀθάνας καὶ περιβολιβώ|σαι ὡς ἔχηι ὡς ἰσχυρότατα καὶ κάλλιστα. Τὰ δὲ τε|λεύμενα ἐς ταῦτα πάντα τὸν ταμίαν παρέχειν. | Ἐγ δὲ ταυτᾶν τᾶν κτοινᾶν ἀποδεικνύειν τοὺς | κτοινάτας μαστρὸν ἐν τῶι ἱερῶι τῶι ἁγιωτάτωι || ἐν τᾶι κτοίναι κατὰ τὸν νόμον τὸν τῶν Ῥοδίων· | τούτοι δὲ συνλεγέσθων ἐν Καμίρωι εἰς τὸ | ἱερὸν τᾶς Ἀθαναίας, ὅκκα τοὶ ἱεροποιοὶ παραγγ[έλ|λ]ωντι, καὶ ἀθρεόντω τὰ ἱερὰ τὰ Καμιρέων [τὰ δα-| μο]τελῆ πάντα, αἴ τι . . . .

Dialectus Coa.

33. Praecepta de sacrificiis faciendis.

Lapides exstantes in oppido Co.
Saec. IV exeuntis aut III ineuntis. Litteratura Ionica. — Ex Patoni apographis Hicks Journ. of Hell. stud. 9, 324 sqq. (C iam antea editum ab Hauvette-Besnault et Dubois Bull. corr. hell. 5, 216 sqq.) Paton-Hicks Inscr. of Cos 37—39. Müllensiefen-Bechtel Coll.-Becht. 3636—3638. v. Prott Leges Graec. sacrae I 5—7. Dittenberger Syll.² 616—618.

A.

(Sex primi versus et septimus excepto fine admodum mutilati.) ἐς δὲ [τ]|ὰν [ἀγορ]ὰν ἐλάντω Πάμφυλοι πρᾶτοι, ἐν ἀγορᾶι δὲ σ[υ]μμί[σγ|ον]τι, ὁ δὲ

ἱερεὺς κα[θ]ήσθω [πὰρ] τ[ὰν] τράπεζαν ἔχων τὰ[ν || φιά]λ[α]ν τὰν ἱεράν, τοὶ δὲ ἱερ[οποιοὶ ἑκατ]ερῶ τᾶς τραπέζας. Π[άμ|φυλοι] δὲ ἐπελάντω βοῦ[ς τρεῖς τοὺ]ς [κ]αλλί[σ]τους, αἰ μ[έγ κα | το]ύτωγ κριθῆι τις· αἰ [δὲ μή, Ὑλλεῖς τρ]εῖς ἐλάντω, αἰ μέγ [κα τ|ο]ύτωγ κριθῆι τις· αἰ δὲ [μή, Δυμᾶνες τρε]ῖς τοὺς [λ]οιπούς, α[ἰ μέ|γ] κα τούτωγ κριθῆι τις· α[ἰ δὲ μή, ἀτέρους] ἐλάντω ἐς τὰν ἀγ[ορ]||ὰν καὶ ἐπελάντω κατὰ τα[ὐτά, αἰ μέ]γ κα τούτωγ κριθῆι τ[ις· | α]ἰ δὲ μή, τρίτον ἐπελάντω καὶ ἀτ[έρους]· αἰ δέ κα τούτωγ κρι[θῆι] | μηδείς, ἐπικρίνονται βοῦν ἐκ χι[λιασ]τύος ἑκάστας· ἐλά[σα]||ντες δὲ τούτους συμμίσγον[τι τοῖ]ς ἄλλοις· καὶ εὐθὺ[ς κρίν]||οντι καὶ εὔχονται καὶ ἀποκαρύ[σσον]τι· ἔπειτα ἐπελάντ[ω αὖ]||τις κατὰ ταὐτά. Θύεται δέ, αἰ μέγ κα ὑποκ[ύψ]ει, τᾶι Ἱστίαι· θύ[ει | δὲ γ]ερεαφόρος βασιλέων καὶ ἱερὰ παρέχει καὶ ἐπιθύει ἱερὰ ἐξ [ἡ|μ]ιέκτου, γέρη δὲ λαμβάνει τὸ δέρμα καὶ τὸ σκέλος, ἱεροποι[οὶ | δ]ὲ [σ]κέλος, τὰ δὲ ἄλλα κρέα τᾶς πόλιος. Τὸν δὲ κριθέντα τ[ῶι] | Ζηνὶ κάρυκες ἄγοντι ἐς ἀγοράν· ἐπεὶ δέ κα ἐν τᾶι ἀγορᾶι ἔω[ν||τι], ἀγορεύει οὗ κα ἦι ὁ βοῦς ἢ ἄλλος ὑπὲρ κήνου ἐνδέξιο[ς· Κ|ώ]ι[ο]ις παρέχω τὸ[μ] βοῦν, Κῶιοι δὲ τιμὰν ἀποδόντω ⟨το⟩ τᾶι Ἱστία[ι]. | Τιμώντω δὲ προστάται ὀμόσαντες παραχρῆμα· ἐπεί δέ κα τι[μαθ|ῆ]ι, ἀναγορευέτω ὁ κάρυξ ὁπόσ[ου κα τιμαθ]ῆι. Τουτῶ δὲ ἐ[λ]άντ[ω πα|ρ]ὰ τὰν Ἱστίαν τὰν Ταμίαν, καὶ ὁ [τοῦ Ζηνὸς ἱ]ερεὺς στέπτει καὶ [ἐκ]||σπένδει κύλικα οἴνου κεκραμένου [π]ρὸ τοῦ [βοό]ς· ἔπειτα ἄγοντι τὸ[μ β|ο]ῦν καὶ τὸγ καυτὸν καὶ [φ]θοῖας ἑπτὰ καὶ μέλι καὶ στέμμα· ἐξάγ[οντ|ε]ς δὲ καρύσσοντι εὐφαμίαν, κην[εῖ δὲ . . . .]ίσαντες τὸμ βοῦν κα|[θαίρ]ονται θαλλῶι καὶ [κλ]αδί· τοὶ δὲ

29 στεΓτει lapis

[βασιλῆς κ]αρπῶντι τὸμ μὲγ χοῖ[ρ|ον] καὶ τὰ σπλάγχνα ἐπὶ τοῦ βωμοῦ ἐπι[σπένδ]οντες μελίκρατον, ἔ[ντε||ρα δ]ὲ [ἐ]κπλύναντες παρὰ τὸ[μ βωμὸν καρπ]ῶντι· ἐπεὶ δέ κα καρπω[θῆι, | να]π[οίας] ἐπισπενδέτω μελίκ[ρατον, κάρυξ δ]ὲ καρυσσέτω ἑορτάζ[εν | Ζηνὸς Π]ο[λιῆ]ο[ς] ἐνιαύτια ὡραῖα ἑ[ορτάν· ἱερεὺς] δὲ τοῖς ἐντέροις ἐπιθυέ[τω | θ]ύη καὶ [τοὺς] φθοΐας καὶ σπονδὰ[ν ἄοινο]ν καὶ κεκραμέναν καὶ στέ[μμα. Με|τ]ὰ τοῦτο δὲ ἰόντω πὰρ τοὺς ἱαροποι[οὺς ἐς] τὸ οἴκημα τὸ δαμόσιον ἱα[ρε||ῦ]ς καὶ κάρυκες, ἱαροποιοὶ δὲ ξενιζό[ντω τὸν ἱ]ερῆ καὶ τὸς κάρυκας τ[αύτ|α]ν τὰν νύκτα· ἐπεὶ δέ κα σπονδὰς ποιήσ[ο]νται, αἱρέσθω ὁ ἱαρεὺ[ς]| . ι .η τῶν ἱαροποιῶν βοὸς τοῦ θυομένου τῶι Ζηνὶ τῶι Πολιῆι, καὶ προ[αγορ|ευ]έτω ἁγνεύεσθαι γυναικὸς καὶ ἀ[νδρὸ]ς ἀντὶ νυκτός· τοὶ δὲ κάρυ[κες | αἱρ]είσθω σφαγῆ τοῦ βοὸς ὅγ κα χρήζωντι ηὑτῶν, καὶ προαγορευέ[τω || τῶι αὐ]λητᾶι τῶι αἱρεθέντι κατὰ ταὐτά. Τᾶι αὐτᾶι ἁμέραι Διονύσωι [Σκ|υλλίτ]αι χοῖρος καὶ ἔριφος· τοῦ χοίρου οὐκ ἀποφορά· θύει δὲ ἱερεὺς κ[αὶ ἱε|ρ]ὰ παρέχει· γέρη φέρει δέρμα σκέλος.

Ἱκάδι βοῦς ὁ κριθεὶς θύεται Ζηνὶ [Πο|λιῆ]ι καὶ ἔνδορα ἐνδέρεται· ἐφ' ἑστίαν θύεται ἀλφίτων ἡμίεκτον, ἄρτο[ι δ|ύ]ο ἐξ ἡμιέκτου — ὁ ἅτερος τυ[ρ]ώδης — καὶ τὰ ἔνδορα· καὶ ἐπισπένδει ὁ ἱε[ρ||εὺς] τούτοις οἴνου κρατῆρας τρεῖς· γέρη τοῦ βοὸς τῶι ἱερῆι δέρμα κ[αὶ σκ|έ]λος· ἱερὰ ἱαρεὺς παρέχει [τ]ε και ἥπατος ἥμισυ καὶ κοιλίας ἥμ[ισυ,] | θυαφόρωι δὲ τοῦ σκέλεος τοῦ τῶν ἱεροποιῶν [δίδ]οται ἀκρίσχιον, [ν]|ώτου δίκρεας, ὑπώμαια, αἱματίου ὀβελὸς τρικώλιος, Νεστορίδαι[ς] | ν[ώτ]ου

44 (*α*)*ὐτῶν* Bechtel; nec tamen offensionem habet contractio vocalium *εα* in hac dialecto, cf. H. Barth De Coorum tit. dial. (Diss. Basileae 1896) 47. 119

δίκρεας, ἰατροῖς κρέας, αὐλητᾶι κρέας, χαλκέων καὶ κερα-[μέ||ω]ν ἑκατέροις τὸ κεφάλαιο[ν, τὰ δὲ ἄλλα κρέα τᾶς πόλιος. Ταῦτα δὲ πάντα] | ἀπ[οφέ]ρεται ἐκτὸς το[ῦ τε-μένεος. Τᾶι] αὐτᾶι ἁμέραι Ἀθαναίαι Πο[λιά]|δι οἷς κυεῦσα· θύει δὲ ἱε[ρεὺς καὶ] ἱερὰ παρέχει· γέρη λαμ-βάνει δ[έρ|μ]α καὶ σκέλος.

Ἐνάται Με[λάν]ια Διονύσωι Σκυλλίται χοῖρος [καὶ ἔ|ρ]ιφος· τοῦ χοίρου οὐκ ἀποφορά· θύει ἱερεὺς καὶ ἱερὰ παρέχει· γέρη [λα]|μβάνει δέρμα καὶ σκέλος.

Ἑβδόμαι ἀνομέν[ου] ἐσς Ἀλκῆιδας Δ[άμα]|τρι οἷς τέλεως καὶ τελέα κυεῦσα· τούτων οὐκ ἀποφορά· κύλι-κες [καιν|ναὶ] δύο δίδονται· θύει ἱερεὺς καὶ ἱερὰ παρέχει· γέρη δὲ οὔατα.

Ἕκχτα[ι | Διονύσωι] Σκυλλίτα[ι χοῖρος καὶ ἔριφος]· τοῦ χοίρο[υ οὐκ ἀποφορά· θύει | ἱ]ε[ρε]ὺς κ[αὶ ἱερὰ παρέχει . . . .

B.

[θύει ἰαρεὺς | καὶ ἱερὰ παρέ]χει· γέρη λαμβάνει δέρμα καὶ σκέλη. ⁝ Τ[ᾶι αὐτ]|ᾶι ἁμέραι Ῥέαι οἷς κυεῦσα καὶ ἱερά, ὅσσαπερ τοῦ Πεδαγειτν[ύο]|υ γέγραπται· τού-των οὐκ ἀποφορά· θύει ἰαρεὺς καὶ ἱερὰ παρέχε[ι· γ]||έρη λαμβάνει δέρμα.

Δεκάται Ἥραι Ἀργείαι Ἑλείαι Βασιλείαι δάμ|αλις κριτά, κρινέσθω δὲ μὴ ἐλάσσονος ἐωνημένα πεν[τ]|ή-κοντα δραχμᾶν· θύει ἰαρεὺς καὶ ἱερὰ παρέχει· γέρ[η] λαμβά[νει] | δέρμα καὶ σκέλος· ταύτας ἀποφορά· ἔνδορα ἐνδέρεται, καὶ θύ[εται] | ἐπὶ τᾶι ἱστίαι ἐν τῶι ναῶι τὰ ἔνδορα καὶ ἐλατὴρ ἐξ ἡμιέκτου [σπ]|υρῶν· τούτων οὐκ ἐκφορὰ ἐκ τοῦ ναοῦ.

Ἑνδεκάται Ζηνὶ Μαχα|νῆι βοῦς κρίνεται τὸ ἄτερον ἔτος, ἐφ' οὗ κα ἔωντ[ι] Κ[α]ρνεῖαι, κα[θά|π]ερ τοῦ Βατρο-

μίου τῶι Ζηνὶ τῶι Πολιῆι κρίνεται, κα[ὶ] χο[ῖ]ρος προ-|καυτεύεται καὶ προκαρύσσεται καθάπερ τῶι Πολιῆι.

Δυωδε[κ]|άται Ζηνὶ Μαχανῆι οἶες τρεῖς τέλεωι καὶ βοῦς ὁ κριθεὶς τὸ || ἅτερον ἔτος, ἐφ' οὗ κα ἔωντι Καρνεῖαι, τὸ δὲ ἅτερον ἔτος οἶες [τ]|ρεῖς τέλεωι· ταῦτα θύει ἰαρεὺς ὁ τῶν δώδεκα θεῶν καὶ ἱερὰ π|αρέχει· τούτοις προθύεται πὰρ τὸγ κο[ιν]ὸν ἃ φέροντι Φυλεομ|α[χ]ίδαι ἀλφίτων ἡμίεκτον, οἴνου τετάρταν· γέρη δὲ Φυλεομ|αχίδαις δίδοται τοῦ βοὸς ὁπλά, ταρσός, τῶν δὲ οἰῶν τὸ ὠμὸν || ἐξ οὗ ἁ θεομοιρία τάμνεται κα[ὶ τὸ στ]ῆθος· γέρη λαμβάνει ὁ ἰα|ρεὺς σκέλη καὶ δέρματα. ⁝ Τᾶι αὐτᾶι ἁμέραι Ἀθαναί[αι] Μαχα[νί]|δι δάμαλις κριτὰ τὸ ἅτερον ἔτος, ἐφ' οὗ κα ἔωντι Καρνεῖα[ι, τ]ὸ δὲ ἅτερον ἔτος οἶς τελέα· θύει ἰαρεὺς καὶ ἀπορραίνεται θαλ|άσσαι· τούτων οὐκ ἀποφορά· [θύ]στρα δίδοται τᾶι θεῶι ἐλαί[ο||υ] τέτορες κοτυλέαι, οἴνου τετάρτα, πρόχοι καιναὶ δύο καὶ κύλ[ι|κες] καιναὶ τρεῖς· [τ]ο[ῖς . . . . ο]ις τὰμ πόλιν ὠνεῖσθαι δάμ[αλιν] | . . . . [δρ]αχμ . . . υ . . . τα . . . .

C.

Τε[τράδι ἐξ] εἰκάδος | [τοῖς ἥρω]σιν οἶ[ες τρεῖς] ⟨οἶε⟩ τέλεωι [θύ]ονται κατὰ φυλ|[άς, ὁ] μὲν τῶν Ὑλλέων παρὰ τὸ Ἡρακλεῖον, ὁ δὲ τῶν Δυμά|νων παρὰ τὰ Ἀναξίλεα, ὁ δὲ τῶν Παμφυλέων ἐν Σιτέαι || παρὰ τὸ Δαμάτριον· [ἐπὶ] τούτων ἑκάστωι ἱερά, οὐλομέτ[ριο]ν ἡμίεκτον ἑκατέρων καὶ κύλικες καιναὶ τρεῖς ἑ|[κάσ]τωι καὶ πίναξ ἑκάστωι· ταῦτα παρέχοντι τοὶ ἰα|[ρῆς] καὶ θύοντι.

Τρίται ἀνομένου Ἡρακλεῖ ἐς Κο|[νίσαλο]ν ἀρὴν καυτός. Ταῖ αὐτᾶι ἁμέραι Ἡρακλεῖ || [ἐς Κονί]σαλον βοῦς· τοῦ-

B 17 *προθύεται* L. Ziehen Rhein. Mus. 59, 391 sqq.

τον θύει ὁ ἰαρεύς, τῶι δὲ | [θεῶι ἱ]ερὰ δίδοται κριθᾶν τρία ἡμέδιμνα καὶ σπυ|[ρ]ῶν τρεῖς τεταρτῆς καὶ μέλιτος τέτορες κοτυλ|έαι καὶ τυροὶ οἴεοι δυώδεκα καὶ ἰπνὸς καινὸς καὶ φρ|[υγά]νων ἄχθος καὶ ξυλέων ἄχθος καὶ οἴνου τρία || ἡμίχοα.

IV. DIALECTI DORICAE SEPTENTRIONALES.

Dialectus Locrorum.

34. Lex Locrorum Hypocnemidiorum de colonia Naupactum mittenda.

Tabula aenea inventa in oppido Galaxidi loco veteris Oeantheae.

Probabiliter prior saec. V pars. Litteratura Locrica. — Oikonomides *Ἐποίκια Λοκρῶν γράμματα* Athenis 1869. Roehl IGA. 321. Imag.[2] p. 22. Dittenberger IG. IX 1, 334. — G. Curtius Stud. 2, 441 sqq. Allen ib. 3, 205 sqq. W. Vischer Kl. Schr. 2, 172 sqq. Cauer[2] 229. Hicks[2] 25. Bechtel Coll.-Becht. 1478. Dareste-Haussoullier-Reinach Inscr. jur. XI. Ed. Meyer Forsch. z. alten Gesch. 1, 291 sqq. R. Meister Ber. sächs. Ges. d. Wiss. 1895, 272 sqq. 1898, 220 n. 1. 1899, 196 sqq. Bannier Berl. phil. Wochschr. 1898, 862 sqq. Danielsson Eranos 3, 49 sqq.

Ἐν Ναύπακτον ⁝ κα το̄̂νδε ⁝ hαπιϝοικία. ⁝ ΛοϘρὸν A τὸν ⁝ Hυποκναμίδιον ⁝ ἐπ|εί κα Ναυπάκτιος ⁝ γένε̄ται, ⁝ Ναυπάκτιον ἐόντα, ⁝ hοπο̄̂ ξένον, ⁝ ὅσια λανχάν|ειν ⁝ καὶ θύειν ⁝ ἐξεῖμεν ⁝ ἐπιτυχόντα, ⁝ αἴ κα δείλε̄ται· ⁝ αἴ κα δείλε̄ται, ⁝ θύειν καὶ λ|ανχάνειν ⁝ κἐ͗δάμο̄ κἐ͗Ϙοινάνο̄ν ⁝ αὐτὸν καὶ τὸ γένος ⁝ καταιϝεί. ⁝ Τέλος το||ὺς ⁝ ἐπιϝοίϘους ΛοϘρο̄̂ν ⁝ το̄̂ν Hυποκναμιδίο̄ν ⁝ με̄̀ φάρειν ⁝ ἐν ΛοϘροῖς τοῖ|ς

A 1 *ΛοϘρὸν το̄̃ν Hυποκναμιδίο̄ν* Riedenauer Hermes 7, 111 Meister 2 *hόπο̄*(ς) post Cauerum plurimi *hόπο̄* (*κ' ἐ͂ι*) v. Wilamowitz *hόπο̄* (*κ' ἐ͂ι ΛοϘρο̄̃ν*) Roehl *hόπο̄* Meister

Hυποκναμιδίοις, ⁝ φρίν κ' αὖ τις Λοϙρὸς γένε̄ται το̄̃ν Hυποκναμιδίο̄ν. ⁝ Αἰ | δείλε̄τ' ἀνχο̄ρεῖν καταλείπο̄ν⁝⟨τα⟩ ἐν τᾶι ἰστίαι παῖδα hε̄βατὰν ἒ̄ 'δελφεὸν, ⁝ ἐξ|εῖμεν ἄνευ ἐνετε̄ρίο̄ν· ⁝ αἴ κα hυπ' ἀνάνκας ἀπελάο̄νται ⁝ ἐΝαυπάκτο̄ ⁝ Λοϙ|ροὶ τοὶ Hυποκναμίδιοι, ⁝ ἐξεῖμεν ἀνχο̄ρεῖν, ⁝ hοπο̄̃ Fέκαστος ε̄̓ν, ἄνευ ἐ||νετε̄ρίο̄ν. ⁝ Τέλος μὲ̄ φάρειν με̄δὲν ⁝ hότι μὲ̄ μετὰ Λοϙρο̄̃ν το̄̃ν Fεσπαρί|ο̄ν. ⁝ Α ⁝ Ἔνορϙον τοῖς ἐπιFοίϙοις ἐν Ναύπακτον ⁝ μὲ̄ 'ποστᾶμεν ⁝ ἀ(π' Ὀ)ποντίο̄ν | τέκναι καὶ μαχανᾶι ⁝ με̄δεμιᾶι ⁝ Fεϙόντας. Τὸν hόρϙον ἐξεῖμεν, ⁝ αἴ κα δεί|λο̄νται, ⁝ ἐπάγειν μετὰ τριάϙοντα Fέτεα ⁝ ἀπὸ το̄̃ hόρϙο̄ hεκατὸν ἄνδρας Ὀ|ποντίοις ⁝ Ναυπακτίο̄ν καὶ Ναυπακτίοις Ὀποντίους. ⁝ Β ⁝ Hόσστις κα λιποτελέε̄||ι ἐγ Ναυπάκτο̄ ⁝ το̄̃ν ἐπιFοίϙο̄ν, ⁝ ἀπὸ Λοϙρο̄̃ν εἶμεν, ⁝ ἔντε κ' ἀποτείσε̄ι ⁝ τὰ νό|μια Ναυπακτίοις. ⁝ Γ ⁝ Αἴ κα μὲ̄ γένος ἐν τᾶι ἰστίαι ⁝ ἐ̄͂ι ἒ̄ 'χεπάμο̄ν ⁝ το̄̃ν ἐπι|Fοίϙο̄ν ⁝ ε̄̃ι ἐν Ναυπάκτο̄ι, Λοϙρο̄̃ν ⁝ το̄̃ν Hυποκναμιδίο̄ν ⁝ τὸν ἐπάνχισ|τον ⁝ κρατεῖν, Λοϙρο̄̃ν hοπο̄̃ κ' ε̄̃ι, ⁝ αὐτὸν ἰόντα, αἴ κ' ἀνὲ̄ρ ε̄̃ι ἒ̄ παῖς, ⁝ τριο̄̃ν μ|ε̄νο̄̃ν· ⁝ αἰ δὲ μέ̄, τοῖς Ναυπακτίοις ⁝ νομίοις χρε̄̃σται. ⁝ Δ ⁝ Ἐ Ναυπάκτο̄ ἀνχο̄ρέ||οντα ⁝ ἐν Λοϙροὺς τοὺς Hυποκναμιδίους ⁝ ἐν Ναυπάκτο̄ι ⁝ καρῦξαι ἐν τἀ|γορᾶι, ⁝ κἐ̄ν Λοϙροῖς ⁝ τοῖ(ς) Hυποκναμιδίοις ⁝ ἐν τᾶι πόλι, hο̄̃ κ' ε̄̃ι, ⁝ καρῦξαι ἐν | τἀγορᾶι. ⁝ Ε ⁝ Περϙοθαριᾶν ⁝ καὶ Μυσαχέο̄ν ⁝ ἐπεί κα Ναυπάκτι(ός τι)ς ⁝ γένε̄τα|ι ⁝ αὐτός, καὶ τὰ χρέ̄-

6 *αὖτις* Meyer 7 *καταλείπο̄ν* ⁝ *τὰ* Meister, *καταλείπο̄ν* ⁝ ⟨*τὰ*⟩ Bursian Litt. Centralbl. 1870, 155, *καταλείπον*⟨⁝⟩*τα* ceteri 10 *νετὰ* tab. 15 *ἀπόλοϙρον* Roehl Cauer Meyer 16 *εἰ* W. Schulze Quaest. ep. 431 adn. 3 *ἒ̄ 'χεπάμο̄ν* Meister Dittenberger Heikel (l. p. 53 l. 3 not.), qui tamen alterum *ε̄̃ι* ⟨ ⟩ includere vult *ε̄̃ι ἐχέπαμον το̄̃ν ἐπίFοιϙο̄ν* ⟨*ε̄̃ι*⟩ ceteri praeter Curtium, qui *εἶ*[*μεν*] *ἐν Ναυπάκτο̄ι*, et Dareste-Haussoullier-Reinach, qui ⟨*ε̄̃ι*⟩ *ἐχέπαμον τ. ἐ.* *ε̄̃ι* praetulerunt 22 *Ναυπάκτι*(*ο*)*ς* Oikonomides Curtius

ματα ⁝ τὲν Ναυπάκτōι ⁝ τοῖς ἐν Ναυπάκτōι χρε̄σται, ⁝ |
τὰ δ' ἐν ΛοϘροῖς τοῖς Ηυποκναμιδίοις ⁝ χρέματα τοῖς
Ηυποκναμιδί||οις ⁝ ||| νομίοις χρε̄σται, ⁝ hόπōς ἁ πόλις B
Ϝεκάστōν νομίζει ⁝ ΛοϘρōν τōν Ηυποκν|αμιδίōν. ⁝ Αἴ τις
hυπὸ τōν νομίōν τōν ἐπιϜοίϘōν ⁝ ἀνχōρέε̄ι ΠερϘοθαριᾶ|ν
καὶ Μυσαχέōν, ⁝ τοῖς αὐτōν νομίοις ⁝ χρε̄σται ⁝ κατὰ πό-
λιν Ϝεκάστους. | ⁝ Ϝ ⁝ Αἴ κ' ἀδελφεοὶ ἔōντι ⁝ τō 'ν Ναύ-
πακτον Ϝοικέοντος, ⁝ hόπōς καὶ ΛοϘρō||ν ⁝ τōν Ηυποκνα-
μιδίōν ⁝ Ϝεκάστōν νόμος ἐστί, ⁝ αἴ κ' ἀποθάνε̄ι, τōν χ|ρε̄-
μάτōν κρατεῖν ⁝ τὸν ἐπίϜοιϘον, τō κατιϘόμενον κρατεῖν. ⁝
Ζ ⁝ | Τοὺς ἐπιϜοίϘους ⁝ ἐν Ναύπακτον ⁝ τὰν δίκαν πρό-
διϘον ⁝ hαρέσται πο τοὺς δ|ικαστε̄ρας, ⁝ hαρέσται ⁝ καὶ
δόμεν ⁝ ἐν 'Οπόεντι κατὰ Ϝεος αὐταμαρόν. ⁝ ΛοϘ|ρōν
τōν Ηυποκναμιδίōν ⁝ προστάταν καταστᾶσαι ⁝ τōν Λο-
Ϙρōν τὀπιϜ||οίϘōι ⁝ καὶ τōν ἐπιϜοίϘōν τōι ΛοϘρōι, ⁝
hοίτινες καπιατες ἔντιμοι ες. ⁝ Η ⁝ Ηόσσ|τις κ' ἀπολίπε̄ι ⁝
πατάρα καὶ τὸ μέρος ⁝ τōν χρε̄μάτōν τōι πατρί, ⁝ ἐπεί κ' |
ἀπογένε̄ται, ⁝ ἐξεῖμεν ἀπολαχεῖν ⁝ τὸν ἐπίϜοιϘον ⁝ ἐν
Ναύπακτον. | ⁝ Θ ⁝ Ηόσστις ⁝ κα τὰ ϜεϜαδε̄Ϙότα ⁝ διαφθεί-
ρε̄ι ⁝ τέχναι καὶ μαχανᾶι ⁝ κα|ὶ μιᾶι, ⁝ hότι κα με̄ ἀνφο-
τάροις ⁝ δοκέε̄ι, ⁝ Ηοποντίōν ⁝ τε χιλίōν ⁝ πλέθ||αι καὶ ΝαϜ-
πακτίōν ⁝ τōν ἐπιϜοίϘōν ⁝ πλέθαι, ⁝ ἄτιμον εἶμεν ⁝ καὶ
χρέ|ματα παματοφαγεῖσται. ⁝ Τὀνκαλειμένōι ⁝ τὰν δίκαν ⁝
δόμεν τὸν ἀρ|χόν, ⁝ ἐν τριάϘοντ' ἀμάραις ⁝ δόμεν, ⁝ αἴ

Meister *γένε̄ται, αὐτὸς καὶ* Vischer Roehl Hicks Cauer Meyer *γένε̄ται, αὐτὸν καὶ* Bechtel Dareste - Haussoullier - Reinach 31 *τō κατιϘόμενον* Dittenberger *τὸ κ.* priores necnon Danielsson et Heikel (l. l.) 33 *κατὰ Ϝέ(τ)ος* Oikonomides Curtius Vischer Hicks Cauer Bechtel *κατὰ χρέος* Riedenauer l. l. *κατὰ Ϝέος* Roehl Meister *κατ' ἀϜέος* Danielsson *αὐταμαρὸν ΛοϘρὸν τὸν Ηυποκναμίδιον* Meister 35 *κα 'πιατὲς* Bursian Litt. Centralbl. 1870, 155 *κἀπιϜετὲς* Vischer *κα πίατες* Meister *κ' ἀπρᾶτες* Danielsson *ἔōντι* post Oikonomidem fere omnes *ἔ̄ς* Meister (1899).

κα τριάκοντ' ἁμάραι ⁝ λείπōντ|αι τᾶς ἀρχᾶς· αἴ κα μὲ διδο͂ι ⁝ το͂ι ἐνκαλειμένōι ⁝ τὰν δίκαν, ⁝ ἄτιμ|ον εἶμεν ⁝ καὶ χρέματα παματοφαγεῖσται, ⁝ τὸ μέρος μετὰ Ϝο||ικιατᾶν. ⁝ Διομόσαι hόρϘον ⁝ τὸν νόμιον. ⁝ Ἐν ὑδρίαν ⁝ τὰν ψάφιξ|ξιν εἶμεν. ⁝ Καὶ τὸ θέθμιον ⁝ τοῖς Ηυποκναμιδίοις ΛοϘροῖς ⁝ ταὐ|τᾶ τέλεον εἶμεν ⁝ Χαλειέοις ⁝ τοῖς σὺν Ἀντιφάται ⁝ Ϝοικε̄ταῖς.

35. Tabula Oeanthensis.

Tabula aenea inventa in oppido Galaxidi loco veteris Oeantheae.

Probabiliter prior saec. V pars. Litteratura Locrica; duae manus, quarum altera exaravit A usque ad primas 5 litteras v. 8, altera reliquam partem A et B. — Oikonomides *Λοκρικῆς ἀνεκδότου ἐπιγραφῆς διαφώτισις* Corcyrae 1850. Ross Alte lokr. Inschrift von Chaleion oder Oianthea Leipzig 1854. Roehl IGA. 322. Imag.[2] p. 23. Dittenberger IG. IX 1, 333. — Rangabé Antiquités Helléniques II n. 356 b. Kirchhoff Philol. 13, 1 sqq. Cauer[2] 230. Hicks[2] 44. Bechtel Coll.-Becht. 1479. Dareste Rev. d. ét. gr. 2, 318 sqq. Ed. Meyer Forsch. z. alt. Gesch. 1, 307 sqq. R. Meister Ber. sächs. Ges. d. Wiss. 1896, 19 sqq.

A ⁝ Τὸν ξένον μὲ hάγε̄ν ⁝ ἐτᾶς Χαλεΐδος ⁝ τὸν Οἰανθέα, μ|ε̄δὲ τὸν Χαλειέα ⁝ ἐτᾶς Οἰανθίδος, ⁝ με̄δὲ χρέματα αἴ τι(ς) συ|λο͂ι· ⁝ τὸν δὲ συλο͂ντα ἀνάτō(ς) συλε͂ν. Τὰ ξενικὰ ἐθαλά(σ)σας hάγε̄ν ⁝ | ἄσυλον ⁝ πλὰν ἐλιμένος ⁝ το͂ κατὰ πόλιν. ⁝ Αἴ κ' ἀδίκō(ς) συλο͂ι, ⁝ τέ||τορες δραχμαί· ⁝ αἰ δὲ πλέον δέκ' ἁμαρᾶν ἔχοι τὸ σῦλον, he̅|μιόλιον ὀφλέτō Ϝότι συλάσαι. ⁝ Αἰ μεταϜοικέοι πλέον με̄νὸς ἒ | ὁ Χαλειεὺς ἐν Οἰανθέαι ἒ Οἰανθεὺς ἐν Χαλείōι, τᾶι ἐπιδαμίαι δίκαι χ|ρέστō. ⁝ Τὸν πρόξενον, ⁝ αἰ

B ψευδέα προξενέοι, ⁝ διπλ|ειōι θōιέστō. ||| Αἴ κ' ἀνδιχάζōντι τοὶ ξενοδίκαι, : ἐπōμότας ⁝ hελέσ|τō ⁝ ὁ ξένος : ὀπάγōν : τὰν δίκαν : ἐχθὸς προξένō | καὶ Ϝιδίō ξένō : ἀριστίνδαν, ⁝ ἐπὶ μὲν ταῖς μναια|ίαις : καὶ πλέον : πεντεκαίδεκ'

ἄνδρας, : ἐπὶ ταῖς | μειόνοις : ἐννέ' ἄνδρας. : Αἴ κ' ὁ Ϝασστὸς ποὶ τὸν Ϝ||αστὸν δικάζεται κα τᾶς συνβολᾶς, : δαμιοργὸς | hελέσται : τὸς hορκōμότας ἀριστίνδαν τὰν πε|ντορκίαν ὀμόσαντας. : Τὸς hορκōμότας τὸν αὐτὸ|ν hόρκον ὀμνύēν, : πλēθὺν δὲ νικēν.

Dialectus Phociorum.

36. Leges phratriae Delphicae Labyadarum.

Cippus quadrangulus ab omnibus lateribus inscriptus, repertus a. 1895 Delphis, ubi nunc asservatur. Anno 1903 examinavit et ectypa chartacea domum reportavit A. Nikitskij; qui quae locis dubiis dispexisse sibi videtur benignissime mecum communicavit.

Circa a. 400. Litteratura Ionica, quae tamen servavit spiritus asperi et digammi notas; *στοιχηδόν*. — Homolle Bull. corr. hell. 19, 5 sqq. Dragumis ib. 295 sqq. Pomtow Fleckeis. Jhb. 1896, 553 sq. B. Keil Hermes 31, 508 sqq. Bechtel Bezz. Beitr. 22, 279 sqq. Th. Reinach Rev. d. ét. gr. 10, 88 sqq. A. Nikitskij Žurnal ministerstva narodnago prosvěščenija St. Petersburg 1898 Jan.-Febr. 42 sqq. Oct.-Nov. 1 sqq. Perdrizet Rev. d. ét. gr. 11, 419 sqq. J. Baunack Coll.-Becht. 2561. Fournier Bull. corr. hell. 22, 271 sq. Dittenberger Syll.[2] 438. L. Ziehen Leges sacrae 74 (C et D).

A.

[ὁ δὲ hόρκος] | ἔστω· ταγε[υ]σέω δι[καίως κ]|ατὰ τοὺν νόμους τᾶς [π]ό[λι]|ος καὶ τοὺς τῶν Λαβυαδ[ᾶν] | πὲρ τῶν ἀπελλαίων καὶ τᾶ|ν δαρατᾶν· καὶ τὰ χρήματα | συμπραξέω κἀποδειξέω [δι|]καίως τοῖς Λαβυάδαις [κ]|ούτε κλεψέω οὔτε [β]λα[ψ]έω | οὔτε τέχναι οὔτε μαχαν[ᾶ||ι] τῶν τῶλ Λαβυαδᾶν χρημ[ά]|των· καὶ τὸς ταγοὺ[ς ἐπ]αξέ|ω τὸν hόρκον τοὺς ἐ[ν ν]έω[τ]|α κὰτ τὰ γεγραμμένα. Ηόρκ|ος· hυπίσχομαι ποὶ τοῦ Δι||ὸς τοῦ πατρώιου· εὐορκέο|ντι μέμ μοι ἀγαθὰ εἴη, αἰ δ' | ἐφιορκέοιμι, [hά]παντα κα|κὰ ἀντὶ τῶν ἀγαθῶν. |

A 12 [*ἐν νέ*]*ω*[*τ*]|*α* priores *E..EΩ.*|Nik. 16 sq. *μέμ μοι πόλλ' ἀγάθ', αἰ δ' ἐφιορκέοιμι,* [*εἶμεν*] *τὰ κακά* secundum Homolle

Ἔδοξε Λαβυάδαις Βουκατ||ίου μηνὸς δεκάται ἐπὶ Κ[ά]|μπου ἐν τᾶι ἁλίαι σὺμ ψάφ|οις hεκατὸν ὀγδοήκοντα | δυοῖν· τοὺς ταγοὺς μὴ δέκ|εσθαι μήτε δαρατᾶν γάμε||λα μήτε παιδῆια μήτ' ἀπελ|λαῖα, αἰ μὴ τᾶς πατριᾶς ἐπ|αινεούσας καὶ πληθυόσα|ς ἅς κα ἦι. Αἰ δέ τί κα πὰρ νό|μον κελεύσωντι, τῶν κελε||υσάντων ὁ κίνδυνος ἔστω. | Τὰ δὲ ἀπελλαῖα ἄγεν Ἀπέλ|λαις καὶ μὴ ἄλλαι ἀμέραι | μήτε ἄγεν τοὺς ἄγοντας μ|ήτε τοὺς ταγοὺς δέκεσθα||ι· αἰ δέ κα [δ]έξωνται ἄλλαι | ἀμέραι ἢ Ἀπέλλαις, ἀποτε|ισάτω Ϝέκαστος δέκα δρα|χμάς· ὁ δὲ χρήζων καταγορ|εῖν τῶν δεξαμένων ἐπὶ τῶ||ν hυστέρων ταγῶν καταγο|ρείτω ἐν τᾶι ἁλίαι τᾶι με|τὰ Βουκάτια, αἴ κ' ἀμφιλλέ|γωντι τοὶ ταγοὶ τοὶ δεξά|μενοι. Ἄγεν δὲ τἀπελλαῖα || ἀντὶ Ϝέτεος καὶ τὰς δαρά|τας φέρεν. Hόστις δέ κα μὴ | ἄγηι τἀπελλαῖα ἢ τὰν δαρ|άταν μὴ φέρηι, ἀμμόνιον κ|ατθέτω στατῆρα ἐπὶ Ϝεκα||τέρωι, τῶι δὲ hυστέρωι Ϝέ|τει ἀγέτω τἀπελλαῖα καὶ | τὰν δαράταν φερέτω· αἰ δέ | κα μὴ ἄγηι, μηκέτι δεκέσθ|ων ἀμμόνια, ἀλλ' ἢ ἀγέτω ἀπ||ελλαῖα ἢ ἀποτεισάτω Ϝίκ|ατι δραχμὰς ἢ hυπογραφό-|μενος τόκιομ φερέτω· καὶ | τὰν δαράταν τῶι hυστέρω|ι Ϝέτει φερέτω ἢ ἀποτεισ|[άτω ......

B.

ι'θ .... | . μα η .... [πα|τ]ριας απ .... | [π]ατριώτα[ς .... τ]||οὶ

ceteri ([*δόμεν*] Baunack) praeter Nik., qui cum offenderet in infinitivo adiecto non priori, sed posteriori enuntiati parti et in elisione vocis *ἀγαθά* ante pausam facta, iam in ephemeride Rossica l. l. lectionem quam recepi ex photographia proposuit et nunc ex ectypis haec elicuit: *ΜΕΜΜΟΙΛΙΓΛΞΛΕΙΗΑΙ. . ΦΙΟΡΚΕΘΙΙΛΙ . . ΓΛΝ . ΛΚ .* | 20 sq. *Κ[ά|ρ]που* priores secundum Pomtow (*Κ[ά]|ρπου* Dragumis) *Κ.* | *ΜΠΟΥ* Nik. coll. *Κίμων Κάμπου* IG. XII 5, 608, 11. 24 (Cei). 35 [*δέ*]ξ[*ω*]*ν*[*τ*]*αι* priores [*δ*]*ἐξωνται* Nik. B 3 *ἀγ*[*αγόντων τοὺς π*]*ατριώτα*[*ς· πάντες δὲ το*]*ὶ* Homolle *ἀγ*[*ερόντων κτλ.* Dittenberger *ΑΙ* Nik., ut dubium

Λαβυάδα[ι Εὐκλείοι]|ς περὶ τᾶν δα[ρατᾶν ἐπι]|κρινόντων καὶ [Ἀπέλλα]|ις περὶ τῶν ἀπελ[λαίων, | π]αρεόντες μὴ μείō[ς hε|ν]ὸς καὶ hεκατόν· τὰ[ν δὲ] | ψᾶφον φερόντων ἀνδ[εξ]|άμενοι ποὶ τô Ἀπόλλω[ν]|ος καὶ τοῦ Ποτειδᾶνος | τοῦ φρατρίου καὶ τοῦ Δ|ιὸς πατρώιου δικαίως | οἰσεῖν κὰτ τὸν νόμους | τῶν Δελφῶν· κἠπευχέσθ|ω δικαίως τὰν ψᾶφον φέ|ροντι πόλλ' ἀγαθὰ τοὺ[ς|| θ]εοὺς διδόμεν, αἰ δὲ ἀ[δ]|ίκως, τὰ κακά. Τοῦτα δὲ τ|οὶ ταγοὶ ἐπιτελεόντω|ν καὶ τῶι δεομένωι συν|αγόντων τοὺς Λαβυάδα||ς· αἰ δέ κα μὴ ποίωντι κὰ|[τ] τὰ γεγραμμένα ἢ μὴ το|[ὺ]ς ταγοὺς τὸν hόρκον ἐ|παγάγωντι, ἀποτεισάτ|[ω] Ϝέκαστος ἐπὶ Ϝεκατέ||[ρ]ωι δέκα δραχμάς. Hόστ|[ι]ς δέ κα μὴ ὀμόσηι, μὴ τα|[γ]ευέτω· αἰ δέ κ' ἀνώμοτο|ς ταγεύηι, πεντήκοντα | δραχμὰς ἀποτεισάτω. || Αἰ δέ κα δέξωνται τοὶ [τ]|αγοὶ ἢ γάμελα ἢ παιδῆι|α πὰρ τὰ γράμματα, ἀποτ|εισάτω πεντήκοντα δρ|αχμὰς Ϝέκαστος τῶν δε||ξαμένων· αἰ δέ κα μὴ ἀπο|τείσηι, ἄτιμος ἔστω ἐγ | Λαβυαδᾶν καὶ ἐπὶ τούτ|ωι καὶ ἐπὶ ταῖς ἄλλαις | ζαμίαις, hέντε κ' ἀποτε||ίσηι. Καὶ hô κα δέξωντα|ι ἢ δαράταν ἢ ἀπελλαῖα | πὰρ τὰ γράμματα, μὴ ἔστ|ω Λαβυάδας μηδὲ κοινα|νείτω τῶν κοινῶν χρημ||άτων μηδὲ τῶν θεμάτων. | Αἰ δέ τίς κα τῶν ταγῶν κ|αταγορῆι ποιῆσαί τι π|ὰρ τὰ γράμματα, hο δὲ ἀν|τι[φ]ᾶι, τοὶ ταγοὶ ἐν τᾶι || . . . .

C.

[ὀμ|νύτω ποὶ τοῦ Ἀπόλλωνος κ|αὶ Ποτειδᾶνος τοῦ φρ]ατ[ρ|ίου καὶ Διός, καὶ δικ]άζο[ν|τι μὲν δικαίως ἐπ]ευχέσ[θ|ω πόλλ' ἀγαθὰ τ]οὺς θεοὺς [δ||ιδόμεν, αἰ δ'

---

restet utrum *π* an *γ* exstiterit 5 in. *αι* Dragumis Baunack qui supplerunt [*κ*]*αὶ* ⁝*ΟΙ* Nik.

ἐ]φιορκέοι, κα[κά· αἰ δέ κα μ]ὴ δικάζηι hαι|[ρεθείς, ἀπ]οτεισάτω πέντ|[ε δραχμάς], ἄλλον δ' ἀνθελό|[μενοι τ]ὰν δίκαν τελεόντ||[ων. Hόσ]τις δέ κα πὰρ νόμον | [τι] ποιέοντα τᾶι δίκαι hέ|ληι, τὸ hήμισσον ἐχέτω. Το|ὶ δὲ ταγοὶ τῶι καταγορέον|τι τὰν δίκαν ἐπιτελεόν||των· αἰ δὲ μή, τὸ διπλον Ϝέκ|αστος ἀποτεισάτω. Hόστι|[ς] δέ κα ζαμίαν ὀφείληι, ἄτ|[ι]μος ἔστω, hέντε κ' ἀποτεί|σηι. — Hόδ' ὁ τεθμὸς πὲρ τῶ||ν ἐντοφήιων. Μὴ πλέον πέν|τε καὶ τριάκοντα δραχμ[ᾶ]|ν ἐνθέμεν μήτε πριάμενο|[ν] μήτε Ϝοίκω· τὰν δὲ παχεῖ|[α]ν χλαῖναν φαωτὰν εἶμεν. || Αἰ δέ τι τούτων παρβάλλο|ιτο, ἀποτεισάτω πεντήκο|ντα δραχμάς, αἴ κα μὴ ἐξομ|όσηι ἐπὶ τῶι σάματι μὴ πλ|έον ἐνθέμεν. Στρῶμα δὲ hὲ||ν hυποβαλέτω καὶ ποικεφ|άλαιον hὲν ποτθέτω· τὸν δ|ὲ νεκρὸν κεκαλυμμένον φ|ερέτω σιγᾶι, κὴν ταῖς στρ|οφαῖς μὴ καττιθέντων μη||[δ]αμεῖ, μηδ' ὀτοτυζόντων ἐ|[χ]θὸς τᾶς Ϝοικίας, πρίγ κ' ἐ|πὶ τὸ σᾶμα hίκωντι, τηνεῖ | δ(ὲ μηδ)ὲν ἄγος ἔστω, hέντε κα hα | θιγάνα ποτθεθῆι. Τῶν δὲ π||ρόστα τεθνακότων ἐν τοῖς | σαμάτεσσι μὴ θρηνεῖν μη|δ' ὀτοτύζεν, ἀλλ' ἀπίμεν Ϝο|ίκαδε ἕκαστον ἔχθω hομε|στίων καὶ πατραδελφεῶν || καὶ πενθερῶν κήσγόνων [κ]|αὶ γαμβρῶν. Μηδὲ τᾶι hυσ[τ]|εραία(ι) μηδ' ἐν ταῖς δεκάτ[α]|ις μηδ' ἐν τοῖς

C 15 *διπλὸν* an *διπλο͂ν*? 23 *Ϝοίκω* Solmsen Rhein. Mus. 51, 303 sq. 38 sq. *δ' ἔναγος ἔστω, hέντε κα hα [σ]ιγ' ἀναποτθεθῆι* Homolle; *ἔνατος* Perdrizet quocum consentit Nik., qui sinistram partem superioris hastae sine dubio in lapide exstare testatur; *hέντε κα hαοῖ γᾶι ἀναποτθεθῆι* Dragumis; *δ(ὲ μηδ)ὲν ἄγος ἔστω, hέντε κα hα [σ]ιγὰ (ἀ)ναποτθεθῆι* Bechtel partim ex sententia Blassii; *hα θιγάνα ποτθεθῆι* Perdrizet Fournier Dittenberger; possitne etiam *οἰγάνα*? Primam vs. 39 litteram definiri omnino non posse, circuli vestigia, in quibus *ϑ* vel *o* latere putaverunt, admodum dubia esse adnotat Nik. 45 *κήκγόνων* Homolle *κήγγόνων* Dragumis, *σ* ex sententia Nik., qui iam in photographia id dispicere sibi visus est, non dubium

ἐνιαυτο[ῖς | μ]ήτ' οἰμώζεν μήτ' ὀτοτύ[ζε||ν]· αἰ δέ τι τούτων παρβ|άλλοιτο τῶν γεγραμ|μένων....

D.

..........αχα...δ...|....... θοῖναι δὲ ταίδ|[ε νόμιμ]οι· Ἀπέλλαι καὶ Β|[ουκά]τια, Ηηραῖα, Δαιδαφ||[ό-ρια], Ποιτρόπια, Βυσίου | [μην]ὸς τὰν hεβδέμαν καὶ | [τ]ὰν hενάταν, κηὔκλει[α κ]|άρταμίτια καὶ Λάφρι[α κ]|αὶ Θεοξένια καὶ Τραχίν||ια καὶ Διοσκουρῆια, Μεγ|αλάρτια καὶ Ηηράκλεια, | καἴ κ' αὐτὸς θύηι hιαρῆ[ι]|ον καἴ κα λεκχοῖ παρῆι [κ]|αἴ κα ξένοι Fοι παρέωντ||ι hιαρῆια θύ-οντες καἴ κ|α πενταμαριτεύων ṭύχη|ι· αἰ δέ τι τούτων παρβάλ|λοιτο τῶν γεγραμμένων, | θωεόντων τọί τε δα-μιορ||γοὶ καὶ τοὶ ἄλλοι π̣άντε|ς Λαβυάδαι, πρασσόντων δὲ τοὶ πεντεκαίδεκα. Α[ἰ] | δέ κα ἀμφιλλέγηι τᾶς θω|ιά-σιος, ἐξομόσας τὸν νό||[μιμ]ον hόρκον λελύσθω. Α|[ἰ δ' ἀ]λίαν ποιόντων ἄρχω|[ν ἀ]πείη, ἀποτεισάτω ὀδε|λόν, καὶ συγχέοι, ἀποτει|σάτω ὀδελόν. Τοιάδε κὴν || Φανα-τεῖ γέγραπται ἐν [τ]|ᾶι πέτραι ἔνδω· [τ]άδε Φά[ν]|ο-τος ἐπέδωκε τᾶι θυγατ|ρὶ Βουζύγαι, τὰ hēμιρρ[ή]|νια κὴκ τᾶς δυωδεκαΐδο||ς χίμαιραν καὶ τὴμιρ[η]ν|αιᾶν δάρ-ματα καὶ τὰ τῶι | Λυκείωι δάρματα καὶ τὰ|ν ἀγαίαν μόσχον· πάντων | καὶ Fιδίων καὶ δαμοσίω||ν τὸμ προ-θύοντα καὶ προ|μαντευόμενον παρέχεν | τὰ γεγραμμένα

---

50 *ἐνιαυτοῖς* Türk Hermes 31, 647 sq. D 2 *ταίδ*[*ε*, quod primus Bechtel proposuit ([*h*]*αίδε* Homolle) in lapide exstare testatur Nik. 29 sqq. *τõτα* — [*τ*]*άδε* Homolle *τοιάδε* Dragumis *τοῖα δὲ .... ἔνδω.* [*h*]*ὰ δὲ ...* Baunack *ΤΘΙΑΔΕ* (sine hasta super *I*) — *ΤΑΔΕ* Nik. 29 *κὴμ* Baunack, at verisimilius esse *κὴν* affirmat Nik. 31 [*Π*]*ά*[*ν*]*οτος* Baunack, at *ΦΑΝ* Nik. 38 *ἀγατὰν* Dragumis, sed *I* testatur Nik., qui adicit *μόσχον* veri similius esse quam *μόσχομ*, quod Homolle ceteri legerant. 40 *τὸμ προθύοντα καὶ προμαντευόμενον* Legrand Rev. d. ét. gr. 13, 290 sqq. L. Ziehen Rhein. Mus. 59, 391 sqq.

Λαβυάδα|ις· τᾶι δὲ θυσίαι Λαβυαδ|ᾶν τὠπελλαίου μηνὸς τῶ||ι Διονύσωι, Βουκατίοις | τῶι Δὶ πατρώιωι καὶ τὠ-π|όλλωνι τὰν ἀκρόθινα κα|ὶ συμπιπίσκεν hαμεῖ το|ὺς Λαβυάδας· τὰς δ' ἄλλας || θοίνας κὰ[τ] τὰν hώραν ἀπ|άγεσθαι.

47 *τὰν ἀκρόθινα* Homolle Perdrizet Nik. *τὰ hακρόθινα* Dragumis 50 *ἀγαγέσθαι* Homolle *ἀπάγεσθαι* Dragumis; Nik. neque *Γ* neque *Π* neque *N*, sed potius *Φ* agnoscere sibi visus est, quapropter dubitanter legit *ἀφάγεσθαι* provocans et ad delph. *ἐφακείσθων -αι* Coll.-Becht. 2501, 37. 41 et ad locr. *hάγε̄ν* Inscr. sel. 35, 1. 3; at in nostro titulo semper *ἄγεν* cet. sine *h* (A 31 sqq. B 28).

37. Foedus inter Stirios et Medeonios ictum.

Marmor inventum prope vicum Stiri.

Non multo post a. 181. Litteratura volgaris. — Beaudouin Bull. corr. hell. 5, 42 sqq. Dittenberger IG. IX[1] 1, 32. — Cauer[2] 223. Bechtel Coll.-Becht. 1539. Dittenberger Syll.[2] 426. — W. Feldmann Anal. epigr. ad hist. synoecismorum et sympolitiarum Diss. phil. Argent. 9, 225 sqq.

A.

[Θ]εὸς τύχαν ἀγα|[θ]άν. Στραταγέοντος | [τ]ῶν Φωκέων Ζευξίου | [μ]ηνὸς ἑβδόμου ὁμολο[γ]|[ί]α τᾶ πόλει Στειρίων καὶ | [τᾶ] πόλει Μεδεωνίων. Συ[ν|ε]πολίτευσαν Στείριοι κα[ὶ | Μ]εδεώνιοι ἔχοντες ἱερά, πό|[λι]ν, χώραν, λιμένας, πάντα || [ἐ]λεύθερα, ἐπὶ τοῖσδε. Εἶμεν | [τ]οὺς Μεδεωνίους πάντας | [Σ]τιρίους ἴσους καὶ ὁμοίους | καὶ συνεκλησιάζειν καὶ συ|ναρχοστατεῖσθαι μετὰ τᾶς || [πό]λιος τᾶς Στιρίων καὶ δικά|[ζ]ειν τὰς δίκας τὰς ἐπὶ πόλι|[ο]ς πάσας τοὺς ἐνικομένους | [τ]αῖς ἁλικίαις. Ἱστάνθω δὲ κα[ὶ | ἱ]εροταμίαν ἐκ τῶν Μεδεω||[ν]ίων ἕνα τὸν θυσέοντα τὰς | θυσίας τὰς πατρίους Μεδεων|[ί]οις, ὅσαι ἐντὶ ἐν τῶ πολιτικῶ νόμ[ω, | μ]ετὰ τῶν ἀρχόντων τῶν στα|[θ]έντων ἐν Στίρι· λανβανέτω || [δ]ὲ ὁ ἱεροταμίας

ἀρέσμιον, ὃ τ[οὶ | ἄ]ρχοντες ἐλάμβανον, ἡμι|[μ]ναῖον καὶ τῶν χοῶν τὸ ἐπ[ι|β]αλὸν τῶ ἱεροταμίαι. Συνδι|[κ]αξεῖ δὲ ὁ ἱεροταμίας μετὰ || [τ]ῶν ἀρχόντων τὰς δίκας, ἃς | [τ]οὶ ἄρχοντες δικάζοντι, καὶ | [κ]λαρωσῖ τὰ δικαστήρια, ἅ κα | δέῃ κλαρώειν, μετὰ τῶν ἀ[ρ]|χόντων. Μὴ ἔστω δὲ ἐπάναγ||[κ]ες λειτουργεῖν τοὺς Μεδε|ωνίους ἐν Στίρι τὰς ἀρχάς, ὅσοι | γεγένηνται ἐν Μεδεῶνι ἄρ|χοντες, ξενοδίκαι, πρακτῆρες, | δαμιουργοί, ἱερεῖς, ἱεράρχαι, καὶ || τᾶν γυναικῶν ὅσαι ἱερητεύ|κατι, εἰ μή τις ἑκὼν ὑπομένοι· | ἱστάνθων δὲ ἐκ τῶν ἀλειτου|ργήτων τῶν Μεδεωνίων κ|αὶ ἐκ τῶν Στιρίων· δαμιουρ||[γ]εόντων δὲ καὶ τὰ ἐν Μεδε|[ῶνι ἱ]ερὰ καθὼς ὁ πολιτικὸς νό|μος κελεύει. Καὶ τὰν χ[ώ|ραν] τὰν Μεδεωνίαν εἶμεν | [π]ᾶσαν Στιρίαν καὶ τὰν Στι||ρίαν Μεδεωνίαν κοινὰν π[ᾶ|σα]ν. Κοινωνεόντω δὲ οἱ Μεδε|[ώ]νιοι τᾶν θυσιᾶν τᾶν ἐν Στί|[ρι] πασᾶν καὶ τοὶ ⟨τοὶ⟩ Στίριοι τᾶν ἐν Με|δεῶνι πασᾶν. Μὴ ἐξέστω δ||ὲ ἀποπολιτεύσασται τοὺ[ς] | Μεδεωνίους ἀπὸ τῶν Στιρί|[ω]ν μηδὲ τοὺς Στιρίους ἀπὸ | [τ]ῶν Μεδε[ωνί]ων. Ὁπότεροι | [δ]έ κα μὴ ἐμμείνωντι ἐν τοῖ||[ς] γεγραμμένοις, ἀποτει|σάντων τοῖς ἐμμεινά[ν]|τοις ἀργυρίου τάλαν|τα δέκα.

B.

[. . . . . π]οιεόντων· | [γ]ραψάντων δὲ τὰν ὁμ[ο]-|λογίαν ἐν στάλαν καὶ ἀν[αθέ]|ντων ἐν τὸ ἱερὸν τᾶς Ἀ[θάν]||ας, θέστων δὲ τὰν ὁμο[λογί]|αν καὶ παρὰ ἰδιώταν ἐσ[φρα]|γισμέναν. Ἁ ὁμολογία π[αρὰ] | Θράσωνα Λιλαιέα. Μάρ[τυ]|ρες Θράσων Δαματρίου Ἐ||λατεύς, Εὐπαλίδας Θρά|σωνος Λιλαιεύς, Τιμο|κράτης Ἐπινίκου

40 ἱερητεύκα(ν)τι Dittenberger Syll., at cf. καθεστάκατι Delphis Bull. corr. hell. 22, 111 n. 99, 5

Τιθορρε|ύς. Δόντων δὲ τοὶ Στίριοι | τᾶ φατρία τῶν Μεδεωνί||ων ἐν ἐτέοις τεττάροις | ἀργυρίου μνᾶς πέντε κα[ὶ | τ]όπον τὰν καλειμέναν | . α . . τρειαν.

Dialectus Elea.

38. Lex de imprecationibus supprimendis.

Lamina aenea effossa Olympiae.

Probabiliter ante a. 580. Litteratura Elea. — A. Kirchhoff Arch. Ztg. 38, 66 sqq. Comparetti Atti d. Accad. dei Lincei Mem. stor. Ser. III, 6, 70 sqq. Roehl IGA. 112. Imag.[2] p. 37. Dittenberger-Purgold Inschr. v. Olympia n. 2. — Ahrens Rhein. Mus. 35, 578 sqq. Buecheler ib. 632. Daniel Bezz. Beitr. 6, 243 sqq. n. 3. Cauer[2] 253. Blass Coll.-Becht. 1152. R. Meister Dial. 2, 16. 20. Danielsson Eranos 3, 80 sqq. B. Keil Nachr. Gött. Ges. d. Wiss. 1899, 154 sqq. G. Glotz Rev. d. ét. gr. 16, 143 sqq.

